UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Acta sanctorum

quotquot toto orbe coluntur, vel a catholicis scriptoribus celebrantur, quae ex Latinis et Græcis, aliarumque gentium antiquis monumentis

Quo dies nonus et decimus continentur

**Bolland, Johannes**

**Parisiis et Romae, 1925**

Vita S. Theoctistae

urn:nbn:de:hbz:466:1-72556

Visual Library

AUCTORE H. D.

*quaecumque de illa dixit in Vita S. Mariae Aegyptiacae leguntur* (1). *Zosimas ille Hierosolymitanus, ex usu monasterii, quotannis Iordanem traiciebat, ut sacri ieiunii dies in eremo transigeret. Casu autem incidit in Mariam, quae quadraginta et septem annos hisce in locis degerat, herbis se sustentans, et amictu iamdiu attrito et consumpto destituta. Postquam ei pallium proiecit Zosimas, vitam suam illa exposuit, rogavitque ut anno sequente in vase mundo afferret corpus et sanguinem Christi. Anno uno elapso, in principio ieiuniorum, rediit Zosimas, eucharistiam in pyxide gestans. Nec statim sanctam mulierem invenit. Ubi tandem illam conspexit, voluit inclinare se, quod illa noluit dicens : « Quid agis, abba, qui et sacerdos es et divina portas mysteria ? » Tum, susceptis sacris mysteriis, exclamavit : « Nunc dimittis famulam tuam, Domine. » Altero autem transacto anno, eodem rediit Zosimas, et mortuam repperit Mariam, quam statim sepulturae mandavit. Solis mutatis nominibus et temporibus, haec ipsa Theoctistae historia est.* *Inanem fabulam.* *Iam,quis credat mirabilia quae de Maria* κατὰ διαδοχὴν ἀγράφως (2) *in monasteriis Palestinae circumferebantur, nulla re omissa,* D *in insula Paro, quinque post saecula iterata esse, nullumque omnino reliquisse vestigium ? Sane lectu iucundus est et elegans Nicetae libellus, et graecis plurimum placuit. Non tamen res vere gestas refert, sed piam fabellam ab homine otioso confictam ut virum simplicem et religiosum delectaret.*

*De cultu S. Theoctistae.* 7. *Cultus S. Theoctistae exhibitus ab oratione Nicetae initium habuit. Patronamillam venerantur Parii, eique sacrarium posuerunt in ecclesia* Παναγίας τῆς Καταπολιανῆς (3), *ubi venator eam se primum conspexisse asseruit, ad sinistram ingredientis ; ibi et eius sepulchrum visitur. Memoriam eius agunt die 9 novembris* (4) *quo et synaxariis et menaeis inscripta est ; in menologio Metaphrastis vero dies 10 ei assignatur. Die etiam 10 occurrit in martyrologio Romano. In insula Naxo colitur Theoctiste in ecclesia catholicorum. Icarienses eiusdem corpus se habere gloriantur in ecclesia prope Mesariam sita. Quo tempore quove modo illud acceperint vel furto abstulerint ignoratur* (5). E

(1) *BHG.* 1042. — (2) *BHG.* 1042, n. 41. — (3) Huius structuram et historiam illustrarunt H. H. JEWELL et F. W. HASLUCK, *The Church of Our Lady of the Hundred Gates* (Byzantine Research Fund), London, 1920, in-fol.— (4) *Synax. Eccl. CP.*, p. 206. — (5) De his legendus ZERLENTES, op. c., p. 164.

---

# VITA S. THEOCTISTAE

*E codicibus bibliothecae S. Marci Venetiarum gr. 349* (= **N 1**), *bibl. Vatic. gr. 811* (= **N 2**), *eiusdem gr. 1789* (= **N 3**), *bibl. S. Marci gr. 361* (=**N 4**), *bibl. Nationalis Parisiensis gr. 1541* (=**N 5**), *bibl. Angelicae gr. 126* (= **N 6**) ; *bibl. Vaticanae gr. 810* (= **M 1**), *eiusdem gr. 2037* (= **M 2**), *bibl. S. Marci gr. 351* (= **M 3**), *Musei Britannici add. 36636* (= **M 4**), *bibl. Ambrosianae B. 25. inf.* (= **M 5**), *eiusdem A. 180. sup.* (= **M 6**), *bibl. Laurentianae XI. 1* (= **M 7**), *bibl. Vaticanae Ottobon. 429* (= **M 8**), *bibl. Nationalis Parisiensis gr. 1020* (=**M 9**) ; *bibl. S. Marci gr. 584* (= **Q**). *Cf. Comm. praev. num. 4-5.*

C *Βίος*[1] *τῆς ὁσίας μητρὸς ἡμῶν*[2] *Θεοκτίστης τῆς Λεσβίας*[3] *τῆς ἀσκησάσης καὶ κοιμηθείσης ἐν νήσῳ τῇ καλουμένῃ Πάρῳ συγγραφεὶς ὑπὸ Νικήτα τοῦ πανευκλεεστάτου μαγίστρου*[4].

*Prologus.* **1.** Ἐπαινεῖν μὲν τὰ χρηστὰ καὶ πρὸς ἀρετὴν καὶ εὐσέβειαν ἄγοντα μακάριον καὶ ἀνδρῶν ἐστιν ἀγαθῶν καὶ ὄντως ἀξίων ἐπαίνου· διανίστησι γὰρ τοὺς ἀκροατὰς τὰ ἐγκώμια καὶ ζηλοῦν μᾶλλον ποιεῖ τοὺς ἐπαίνους ὁ λόγος ἢ τοὺς ἐν τοῖς ἀγῶσι καθημένους ὁ τῶν ἀθλητῶν ζῆλος· καὶ γὰρ αἱ ψυχαὶ τοῖς σπουδαίοις λόγοις εἰώθασιν αὔξεσθαι καὶ ῥυθμίζεσθαι ὥσπερ F τὰ σώματα τοῖς συμμέτροις γυμνάσμασι. Διὸ τοὺς μὲν παρασκευάζει πρὸς ἀνδρίαν[1] ἀναθορεῖν[2] ὁ λόγος καὶ οἷα γινομένους ἐνθέους[3] μετὰ χεῖρας ἔχειν τὰς πανοπλίας καὶ τοὺς ἀντιπάλους ζητεῖν, τοὺς δὲ δικαιοσύνην ἀσπάζεσθαι καὶ τὴν τοῦ ἴσου διανομὴν ἐπαινεῖν καὶ ὅλους τοῦ πράγματος γίνεσθαι κατατρέχοντας τῶν ἀδίκων, ἑτέρους σωφροσύνην ἀγαπᾶν καὶ κρατεῖν ἡδονῶν καὶ τὸ ἐπιθυμητικὸν φιλονεικοῦντας καταστορέσαι. Ἔστι δ' οὓς[4] πρὸς φιλοσοφίαν ὁ

**Lemma.**— [1] *καὶ πολιτεία add.* N 2-6.— [2] (*μητρὸς ἡμ.*) *τῆς ὁσίας καὶ ἀειμνήστου* N 2, 4, 5, 6 ; *μακαρίας* N 3. — [3] *Λεσβείας* N 6.— [4] (*τῆς ἀσκ. - μαγίστρου*) *om.* N 2, 3, 4, 5, 6.

**1.** — [1] *ἀνδρείαν* N 3, 4, 6. — [2] *ἀναθαρρεῖν prius ἀναθαρεῖν* N 4. — [3] *ἔνθους* N 4, 5, 6. — [4] *ἐπὶ δοὺς* N 3.

*Codd. M.* *Βίος καὶ πολιτεία τῆς ὁσίας καὶ ἀειμνήστου Θεοκτίστης τῆς Λεσβίας.*

**1.** Εἰκόνες καὶ στῆλαι καὶ ἀνδριάντες διὰ τοῦτο πάντως εἰς τὸν ἡμέτερον βίον εἰσήχθησαν[1], ἅμα μὲν ὡς[2] εἰς ἔπαινον τῶν μέγα τι καὶ κοινωφελὲς κατωρθωκότων, ὧν καὶ σῴζουσι τοὺς τύπους, γινόμενα, ἅμα δὲ καὶ εἰς τὸν τῶν ὁρώντων ζῆλον καὶ τὴν τῶν καλῶν[3] ἐπιμέλειαν πολλὰ

**1.** — [1] *παρεισήχθησαν* M 6, 7. — [2] *om.* M 6. — [3] *καλλῶν* M 8.

ζῆλος

A ζῆλος[5] ᾄττειν ποιεῖ καὶ τὴν πρακτικὴν μάλιστα μετιέναι, ἢ ῥυθμίζει τὰ ἤθη καὶ παιδεύει κατ' εἰκόνα βαίνειν Θεοῦ καὶ ὁμοιοῦσθαι αὐτῷ, καθόσον ἐφικτὸν ἀνθρωπίνῃ καθέστηκε φύσει, καταφρονεῖν τῶν ῥεόντων, τοῦ σώματος ἀφειδεῖν[6], γῆς ἀπανίστασθαι καὶ πρὸς οὐρανὸν ἀνατρέχειν, ἔνθα τὸ πολίτευμα ἡμῶν καὶ ἡ κεφαλὴ τοῦ παντὸς[7] σώματός ἐστιν ὁ Χριστός. Εὐσεβεῖν γὰρ κυριώτατα καὶ πρώτως ἐστὶ τὸ θεραπεύειν Θεὸν ὀρθῶς καὶ ἀμέμπτως βιοῦντας, τοῖς δόγμασι τῶν μακαρίων ἀποστόλων καὶ τῶν πατέρων ἑπομένους ἐπ' ἐλπίδι τῆς ἀϊδίου ζωῆς καὶ βασιλείας. Οὕτω τοίνυν αἱ τῶν ἀγαθῶν εὐφημίαι καὶ τὰ ἐγκώμια τῶν γενναίων διανιστῶσι[8] τοὺς ἀκροατὰς πρὸς ζῆλον τῶν ἐπαινουμένων, ὥσπερ αὖ τοὐναντίον τὰ φαῦλα διαφθείρουσι τὰς ἀκοάς, καθάπερ λύμη τις μετιοῦσα τὰ σώματα· φθεί-
1 Cor. ρουσι γάρ, φησίν[9], ἤθη χρηστὰ ὁμιλίαι κακαί.
15, 33. Ταύτῃ τοι παρῆλθον καὐτὸς[10] τὴν ἀπὸ τοῦ παρόντος ὠφέλειαν κομίζων ὑμῖν[11] διηγήματος, ὃ πολλοῖς ὀνήσει τοῖς ἀγαθοῖς καὶ ἄξιον ἔσται[12]
B μνήμης καὶ τῆς ἀπὸ τῶν λόγων γραφῆς· ὅ τε
2 Reg. γὰρ Θεὸς δοξασθήσεται ὁ δοξάζων τοὺς δοξά-
2, 30. ζοντας αὐτόν, καθὼς τὰ ἱερά που γράφουσι λόγια, οἵ τε ἀκροαταὶ μακαρίσουσι τὸν ἐργάτην[13] τοῦ πράγματος καὶ ζηλοῦν ἐθελήσουσι. Μακάρισον γάρ τις τῶν μεγάλων τὸν μακαρισμοῦ φησιν ἄξιον, ἵνα γίνῃ[14] κατ' αὐτὸν τῇ προθέσει[15], χωρὶς ἀγώνων καὶ σκαμμάτων μακάριος. Οὐ μὴν ἀλλὰ καὶ οὓς ἐπαινοῦμεν ζηλοῦν πάντως[16] σπουδάζομεν· ὃ γάρ τις ἐπαινεῖ δῆλον ὡς καὶ ποθεῖ, ὥσπερ τοὐναντίον, ὃ μισεῖ καὶ διασύρει. Ἐπεὶ οὖν ταῦθ' οὕτως[17] καὶ ὁ λόγος ἀπέδειξεν πολλὴν τὴν ὠφέλειαν ἐν τοῖς ἀγαθοῖς διηγήμασιν, ἀξιῶ τὴν ὑμῶν ἀγάπην πρὸς τὴν παροῦσαν τὰς ἀκοὰς ὑπόθεσιν ὑποκλίναντας[18] καὶ βιωτικῶν μελεδώνων ἐκεχειρίαν ποιησαμένους ὑποδέξασθαι καθαρῶς τὸ τοῦ διηγήματος μέγεθος. Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπως ἐπιλελησμένος ἑαυτοῦ[19] καὶ λόγῳ καὶ βίῳ μακρὰν ἀφεστὼς τῶν λεγομένων καὶ ἄλλοις[20] εἰδὼς προσήκειν[21] τοιαῦτα συγγράφειν, οἳ τοῖς εὐφημουμένοις ἐφαμίλλους καὶ τοὺς ἀγῶνας ἔχουσι καὶ τοὺς βίους, πρὸς τὴν τοιαύτην προήχθην γραφήν. VITA

Πλὴν ἐπεὶ καὶ τῆς ὑπακοῆς ἔστι μισθὸς καὶ σωτήριον τὸ πρᾶγμα καὶ μακαρίζεται, εἰκότως τῆς ἐνοχῆς τοῦ θράσους ἀπολυθήσομαι, πληρῶν ἐντολὴν ἀνδρός, παιδόθεν ἀφιερωμένου τῷ[22] Θεῷ καὶ τὴν ἔρημον οἰκεῖν ἑλομένου κατὰ τὸν μέγαν Ἠλίου καὶ Ἰωάννην τὸν ἐν γεννη- *Oboedientiae meritum.*
τοῖς γυναικῶν ὑπὲρ ἅπαντας[23]. Ἀρκτέον τοι- Matth. 11, 11.
γαροῦν τῆς ὑποθέσεως ἄνωθεν· καιρὸς γὰρ ἤδη ταύτην ὑμῖν ἀνειπεῖν[24], ἱκανῶς ὑμῶν παρασκευασαμένων τὰς ἀκοάς.

**2.** Γενομένῳ μοί ποτε κατὰ τὴν Πάρον, ἐγεγόνειν[1] δὲ καὶ γὰρ ἐπὶ Κρήτην ἔπλεον[2] ὑπὸ τοῦ μακαρίτου[3] καὶ θεοσεβοῦς βασιλέως στελλόμενος[4], τοῦ εὐτυχοῦς ὄντως[5] καὶ τὴν εὐτυχίαν Ῥωμαίων τῷ τάφῳ συνθάψαντος[6] (1). Ἐστελλό- *Nicetas ad Arabes in Cretam missus*
μην δὲ τοῦτο μὲν συστρατευόμενος Ἱμερίῳ[7] τῷ E
πάνυ, τῷ στρατηγικωτάτῳ[8] καὶ ἄρχοντι τοῦ τε δρόμου καὶ τοῦ στόλου παντός (2), ἀληθέστερον δὲ εἰπεῖν, καὶ αὐτῶν[9] τῶν παθῶν· καὶ ἵνα μὴ τὸ[10] πολλῶν ἐγκωμίων ἄξιον τῆς στρατηγίας[11] ἐκείνου[12] πάρεργον ποιησάμενος[13], μικρὰ τούτου μνησθείς, ἀτιμάσω τὸν ἄνδρα, τὰ κρείττω λόγου σιωπῶν αὐτοῦ κατορθώματα[14], ἐπὶ τὴν παροῦσαν τέως ὑπόθεσιν εἶμι, μνησθησόμενος εὐκαίρως ἐκείνου[15]. Ἐστελλόμην τοιγαροῦν, τοῦτο μὲν ἐκείνῳ συστρατευόμενος[16] καὶ προβιβαζόμενος[17] εἰς τὸ πρακτικὸν τῆς στρατηγίας[18], οἷα πῶλος μητρὶ πρὸς τὰ γενναιότατα τῶν στρατηγημάτων συσκαίρων[19] — οὕτω γὰρ ἦν ὁ τοῦ μακαρίτου μου βασιλέως σκοπός, — τοῦτο δὲ πρεσβευσόμενος[20] πρὸς[21] τοὺς τὴν Κρήτην ἔχοντας Ἄραβας (3).

[5] (ὁ ζ.) *om.* N 4. — [6] ἀφιδεῖν *corr.* N 3 ; ἀφειδοῦν N 1. — [7] *in marg.* N 4. — [8] διανίστησι N 2-6. — [9] *om.* N 4. — [10] καὶ αὐτὸς N 4, 5. — [11] ἡμῖν N 3, 4. — [12] ἔστι N 6. — [13] εὐεργέτην N 4, 5 ; εὑρετὴν *corr.* N 2, *sed in marg.* γρ. ἐργάτην. — [14] γένη N 2-5. — [15] καὶ *add.* N 1. — [16] *om.* N 2-6. — [17] ταῦτα οὕτως N 2-6. —
C [18] ἀποκλίναντας N 1. — [19] αὐτοῦ N 3-6. — [20] ἄλλοι N 6. — [21] τὰ *add.* N 1. — [22] *om.* N 1. — [23] ὑπεράπαντας N 4. — [24] ἐξειπεῖν N 1.
**2.** — [1] γέγονα M. — [2] διέπλεον M. — [3] μακαρίου M 1. — [4] (καὶ θ. β. στ.) Λέοντος ἐκεῖσε πεμφθεὶς Λέοντός φημι M. — [5] βασιλέως *add.* M. — [6] συνθάψαντας N 6. — [7] Ἡμερίῳ N, M 4, 7. — [8] δηλαδὴ *add.* M. — [9] ἢ τόγε ἀληθέστερον καὶ αὐτῶν εἰπεῖν M. — [10] τῶν M 7. — [11] τὴν στρατηγίαν N 4. — [12] ἐκείνῳ Q. — [13] καὶ *add.* M. — [14] (τὰ κρ. - κατορθ.) *om.* M. — F
[15] ἐκείνου κατὰ καιρὸν μνησθησόμενος M. — [16] συστρατευσάμενος Q. — [17] προβιαζόμενος N 6. — [18] (τὸ - στρατηγίας) πεῖραν στρατηγικὴν M. — [19] συγκαίρων N 6. — [20] πρεσβευόμενος N 1. — [21] *om.* N 4.

συντείνειν δυνάμενα. Οἶμαι δὲ ὅτι πολὺ μᾶλλον καὶ λόγος συντελέσειεν ἄν, εἰς μνήμην παρατιθεὶς *Codd. M.*
ἀρετῆς φίλον ἄνθρωπον, βίον τε καὶ πράξεις τὰς αὐτοῦ διηγούμενος[4]· ὁπότε[5] γὰρ ἐκεῖνα τὰ κωφά τε καὶ ἄφωνα διὰ ψιλῆς μόνης τῆς θέας οὕτως ὠφελεῖν δύνανται[6], οἱονεί τις[7] ὑπόμνησις πρὸς ἀρετὴν γινόμενα, πόσῳ γε[8] μᾶλλον λόγος ὀνήσειε, πατρίδα τε καὶ γένος διαλαμβάνων ἀγωγήν τε καὶ ἐπιτήδευμα, καὶ τὸ δὴ μεῖζον, αὐτὰ τὰ πράγματα διηγούμενος καὶ ὑπ' ὄψιν τοῖς ἀκροαταῖς ἐκεῖνα καθὰ δὴ καὶ γεγόνασι παριστῶν; Ἐπεὶ οὖν οὕτω πρόδηλος ἐν τοῖς τῶν φιλαρέτων διηγήμασιν ἡ ὠφέλεια, προσέχειν ὑμᾶς ἀξιῶ· βίον γὰρ διηγήσομαι, οὐ τὸν τυχόντα, οὐδὲ ὃν πολλοὶ πολλάκις τῶν κατὰ Θεὸν ζῆν ἑλομένων διήνυσαν, ἀλλὰ καινόν τε καὶ σπανιώτατον καὶ ὃν εἷς, οὐκ οἶδα, ἢ δύο τῶν τοιαύτην εὐγενῆ καὶ φιλόνεικον ἐν τοῖς καλοῖς ἐσχηκότων ψυχὴν εἵλοντό τε καὶ εἰς πέρας διενεγκεῖν ἠδυνήθησαν. Ἀρκτέον οὖν μοι τῆς ὑποθέσεως, καὶ ὅπως ἔχει[9] τὰ τοῦ θείου τούτου βίου διηγητέον.

[4] διηγούμενον Q. — [5] ὁπόταν M 6. — [6] δύναται M 2, 5, 9, Q. — [7] τι M 8. — [8] *om.* M 6. — [9] εἶχε M 6, 7.

(1) Leo VI imperator, 886-911. — (2) De hac Himerii expeditione, CONSTANTINUS PORPHYROGENITUS, *De Caerim.*, II, 44 : ἡ γενομένη ἐξόπλισις καὶ ἔξοδος καὶ τὸ ποσὸν τῆς ῥόγας καὶ τοῦ λαοῦ τοῦ ἀποσταλέντος κατὰ τῆς θεολέστου Κρήτης μετὰ τοῦ πατρικίου Ἡμερίου καὶ λογοθέτου τοῦ δρόμου ἐπὶ Λέοντος τοῦ φιλοχρίστου δεσπότου. Ed. Bonn., t. I, p. 651 ; LEO GRAMMATICUS, *Chronographia*, BEKKER, p. 280. Supra, p. 223. — (3) Cf. G. SCHLUMBERGER, *Nicéphore Phocas*, nouvelle édit., p. 25-32.

*Vita ad Parum appellit;*

**3.** Ἐπεὶ δὲ κατὰ τὴν Ἴον ἐγεγόνειν [1] τὴν νῆσον καὶ τοῦ πρόσω φορά τις εἶρξεν ἐναντιων [2] ἀνέμων ἡμᾶς, προσεπλεύσαμεν τῇ Πάρῳ, τῆς τε νήσου τὴν θέσιν ἐν παρέργῳ καθιστορήσοντες [3] καὶ τὸν αὐτόθι τῆς δεσποίνης ἡμῶν ὀψόμενοι τῆς Θεοτόκου νεών [4](1). Ὡς δὲ κατὰ τὸν λιμένα τὸν [5] πρὸς τὴν Ναξίαν ἀφορῶντα κατήχθημεν (2), ὁ δὲ ἔστι πως ἠρέμα καὶ [6] κατὰ μικρὸν βαθυνόμενος καὶ ἀναχωρῶν ἐκ τοῦ [7] κλύδωνος εὐφυῶς, ὥσπερ [8] ἐπὶ τοῦτο κατεσκευασμένος, καὶ τῇ κοιλότητι τοῦ ὄρους κλειόμενος, ὡς ἂν καὶ χειμάζοιεν εὐμαρῶς καὶ θερίζοι [9] τὰ πλοῖα, ἐκβεβήκαμεν καὶ μικρὸν προβάντες πρὸς τὸν ναὸν ἀνεδράμομεν. Θυμιάσαντες οὖν καὶ τὰς συνήθεις εὐχὰς ποιησάμενοι, περιήειμεν [10] τοῦτον ἀγάμενοι [11]. Ὁ δὲ ἦν ἄρα τις [12] ἀξιοθέατος καὶ [13] λείψανα σῴζων ἔτι τῆς παλαιᾶς ὡραιότητος· σύμμετρος [14] γὰρ ἐδεδόμητο [15] πάντοθεν καὶ κίοσι [16] συχνοῖς τοῖς [17] ἐκ βασιλικοῦ ἠρήρειστο λίθου, πριστῷ τε λίθῳ πάντα τοῖχον ἠμφίεστο [18] παραπλησίως [19] τοῖς κίοσιν. Εἰς τοσοῦτον δὲ τὸν λίθον λεπτύνας ἐξύφανεν ὁ τεχνίτης, ὡς δοκεῖν ἐξ ὑφασμάτων τὸν τοῖχον ἐνδεδύσθαι βυσσίνων· τὸ δὲ μαρμαῖρον τοῦ λίθου [20] τοσαύτην ἐνέφαινε [21] τὴν ὑγρότητα καὶ μαρμαρυγήν, ὡς καὶ μαργάρων [22] στιλβηδόνα [23] νικᾶν [24]· τοσοῦτον τὸ περιὸν ὑπῆρχε τοῦ λίθου [25], μᾶλλον δὲ ἡ σπουδὴ τοῦ τεχνίτου [26], ὃς καὶ τὸ κάλλος ἐφιλονείκησε τῇ φύσει προσνεῖμαι.

*templum Matris Dei*

B

*et maxime ciborium miratur.*

**4.** Ὡς δὲ καὶ τῆς σεβαστῆς καὶ θείας τραπέζης τὸ ὑπερκείμενον ὀρόφιον [1] εἴσω τῆς πύλης ἑωράκαμεν [2], κατεπλάγημεν [3] τῆς τερπνότητος· οὐδὲ γὰρ ἐῴκει λίθου φύσιν ἔχειν τὸ τόρευμα οὐδὲ σιδήρῳ καὶ τέχνῃ λελαξεῦσθαι καὶ χείρεσιν [4], ἀλλ' οἷά τινι γάλακτι ὀπῷ φυραθέντι καὶ πρὸς τὸ σχῆμα τοῦ στέγους [5] μεμηχανημένου [6] τοῦ χεύματος [7]· τοιούτῳ ποτὲ ἐγὼ λίθῳ τεθέαμαι διφρηλατοῦσαν ἐπὶ ταύροις Σελήνην. Τὸ μὲν οὖν ἔκειτο τεθραυσμένον, ἡμεῖς δὲ συνεθέομεν [8] καὶ παριστάμεθα καταρώμενοι [9] καὶ παντοίως [10] τὸν συντρίψαντα λοιδορούμενοι [11]· καὶ γὰρ ἦν τι χρῆμα καὶ ἄξιον οἴκῳ [12] Θεοῦ κειμήλιον καὶ ἀνάθημα.

*Eremita e nemore progrediens,*

**5.** Παρισταμένων [1] τοίνυν ἡμῶν [2] καὶ θαυμαζόντων [3] καὶ καταβοώντων τοῦ κατεάξαντος [4], ὁρῶμεν ἐξαπίνης μοναχὸν ὑπερκύψαντα τῆς ἐρήμου καὶ τοῦ ἄλσους προβαίνοντα καὶ ὡς ἡμᾶς ἀφικόμενον, ὠχρὸν τὸ πρόσωπον, σεσηρυίας [5] τὰς παρείας [6], γυμνὸν τὼ πόδε, αὐχμηρὸν ὅλον· χιτῶνα τρίχινον [7], ἐπωμίδα [8] καὶ τὸ [9] κεφαλῆς κάλυμμα τῷ χιτῶνι παρόμοια, τὴν ζώνην δερματίνην περὶ τὴν ὀσφῦν [10], ὡς θῆρα δασύν, ὡς ἄγγελον εὐμενῆ. Οὐδὲ [11] γὰρ ἐῴκει [12] ἀνδρί γε [13] σιτοφάγῳ ἀλλ' ἀσάρκῳ μικροῦ καὶ ἀναίμονι, καὶ συνελόντι [14] φάναι, ἀρετῶν ἢ καὶ αὐτοῦ Θεοῦ καταγώγιον [15].

*Symeon nomine,*

**6.** Προσελθὼν οὖν ἠσπάζετο ἡμᾶς, καὶ ἡμεῖς αὖθις ἐκεῖνον· καὶ ὅστις εἴη λέγειν καὶ πατρίδα καὶ γένος καὶ εἰ μόνος ἐνταῦθα ζῴη [1] προὐτρέπομεν [2]. Ὁ δέ· « Πατρίδα μὲν καὶ γένος (εἶπε [3]) καὶ τἆλλα [4], οἷς οἱ κατοικοῦντες τὰς πόλεις ἄνθρωποι σεμνύνονται, λέγειν οὐκ ἔχω (φησίν)· οὐδὲ γὰρ ἐμοὶ τῶν ἐν γῇ μέλει [5] τινὸς οὐδὲ τοῖς ῥέουσιν [6] ἥδομαι [7], πατὴρ δέ μοι καὶ δεσπότης ὁ Θεός, ᾧ μόνῳ [8] ζῶ καὶ πολιτεύομαι [9], δι' ὃν καὶ μόνος ἀλώμενος κατὰ [10] τὴν ἔρημον ταύτην χρόνους τῶν [11] τριάκοντα πλέον ἐγκαρτερῶ [12]·

E

ὄνομα δέ μοι Συμεών, τὸ δὲ ἀξίωμα ὁ ταπεινὸς [13] μοναχός, ἱερεὺς καὶ λειτουργὸς καὶ μυσταγωγὸς [14] τῆς ζωοθύτου καὶ ἀναιμάκτου [15] θυσίας. » Ἡμεῖς δὲ τὴν ἀρετὴν αἰδεσθέντες τοῦ ἀνδρὸς [16] ἀπό τε τῶν λόγων ἀπό τε τῆς θέας καὶ τοῦ ἐνδύματος, ἔτι δὲ [17] καὶ [18] τῆς [19] ἀσκήσεως καὶ μάλισθ' [20] ὅτι τοῦ Θεοῦ ἱερεὺς ἐχρημάτιζε, τοῖς ποσὶ προσπεσόντες ᾐτοῦμεν εὐχὴν καὶ συγγνώμην τῆς διαγνώσεως [21]. Ὁ δὲ καὶ ηὔξατο καὶ παρακλήσεως προὔτεινε [22] λόγους καὶ προσέχειν ἐκέλευσεν [23] ἑαυτοῖς καὶ μὴ ἀθυμεῖν. « Συμπαθής τε γάρ ἐστι (φησίν [24]) ὁ Θεὸς καὶ μακρόθυμος καὶ τοὺς πρὸς αὐτὸν ἐπιστρέφοντας ἀγκάλαις ὡς [25] τὸν ἄσωτον δέχεται. » Luc. 15.

*percontanti Nicetae*

**7.** Ταῦτα [1] καὶ ἄλλ' ἄττα [2] παρακαλέσας ἡσύχασεν [3]. Ἐγὼ δὲ περιεργότερος ὢν καὶ συνιέναι δεινὸς ἦθος ἀνδρός, παρεκάλουν [4] τὸν μέγαν καὶ διδάξαι τι τῶν ἡμῖν [5] ἀπορρήτων ἐξελιπάρουν [6]· οὐ [7] γὰρ ἀμοιρεῖν ὁμιλίας ἐῴκει [8] μοι θεϊκῆς. Ὁ δέ· « Τούτων μὲν (ἔλεγεν) ἅλις· οὔπω [9] γὰρ [10] τοιούτων ἠξίωμαι. Τἀμαυτοῦ [11]

F

**3.** — [1] γεγόνειν M 9. — [2] ἀσυμφόρων M. — [3] τήν τε νῆσον κατὰ πάρεργον ἱστορήσοντες (ἱστορήσαντες M 6 *et ante corr.* M 7) M. — [4] ἐντεῦθεν δὲ καὶ συνέβη τὸ πάρεργον μεῖζον ἡμῖν κομιδῇ (*om.* M 7) τοῦ ἔργου γενέσθαι *add.* M. — [5] τὸ N 1. — [6] *om.* N 6. — [7] ἀναχορῶν τε τοῦ M. — [8] ὡς N 4. — [9] θερίζοιεν M 1. — [10] περίειμεν Q ; περιήμεν M 2. — [11] ἀγόμενοι M 2. — [12] καὶ M. — [13] ὀφθαλμῶν ἀτέχνων (*om.* M 5) τρυφὴ *add.* M. — [14] τε *add.* N 1, 5. — [15] ἐδέδμητο N 1. — [16] βίοσι N 6. — [17] τῆς N 1-6. — [18] ἠμφίαστο M 2, 4, 5, 8, 9. — [19] παραπλησίω N 4, 5. — [20] (τὸ - λίθου) ὁ δὲ λίθος M. — [21] ὑπέφαινεν M 1, 2, 4-9 ; ἐπέφαινεν M 3. — [22] μαρμάρων M 6. — [23] στιλβηδόνων N 1. — [24] ἐν τούτω νικᾶσθαι τὸ στίλβον M. — [25] (τοσοῦτον - λίθου) οὕτω τις ὑπερφυὴς καὶ ξενίζουσα ἡ τοῦ λίθου ἦν ἀρετὴ M. — [26] ἡ τ. τ. σπουδὴ M.

**4.** — [1] ὃ κιβώριον καλεῖν σύνηθες *add.* M. — [2] καὶ *add.* N 2, 6. — [3] αὐτὸ *add.* M. — [4] καὶ χερσὶ λελαξ. M. — [5] τέγους N 4, M (*praeter* M 2 *et* M 8 *corr.*). — [6] μεμηχανευμένου N 2-5, M 1, 3, 5, 8. — [7] σχήματος N 4 ; τῶ χεύματι M. — [8] πρὸς τὴν ὄψιν *add.* M. — [9] ἐπαρώμενοι M. — [10] πάσῃ γλώττῃ (γλώσσῃ) M. — [11] διαλοιδορούμενοι M. — [12] οἴκου M.

**5.** — [1] παριστάμενοι N 5, M. — [2] ὡς εἰκὸς N 5 ; οὕτω M. — [3] θαυμάζοντες N 5, M. — [4] καταβοῶντες τοῦ κατα///ξαντος N 5 ; ὥσπερ ἐπὶ τῶ πάθει τοῦ λίθου καὶ αὐτοὶ τὰς ψυχὰς πάσχοντες M. — [5] σεσηρύας N 1 ; διατετηκότα M. — [6] ἀκοὰς N 4, 5. — [7] ἐνδεδυμένον *add.* M. — [8] τε *add.* M. — [9] τῆς *add.* M. — [10] (τὴν ζ. - ὀσφῦν) *om.* M. — [11] οὐ N 1, M. — [12] ἐδόκει Q, M 5, 8. — [13] *om.* M. — [14] συνελόντα N 4, M. — [15] (ἀρετῶν - καταγ.) θαῦμα ἦν καὶ (η. κ. *om.* M 6) ἰδεῖν ἀπὸ τῆς ὄψεως καὶ καταμαθεῖν ἀπὸ τῆς ψυχῆς M.

**6.** — [1] διάγοι M ; ζώοι N, Q. — [2] προετρεπόμεθα M. — [3] *om.* M. — [4] τὰ ἄλλα N 3-6, Q. — [5] μέλλει M 2, 5, 6. — [6] τούτοις *add.* M. — [7] πῶς γὰρ ὧν ἡδέως μᾶλλον ἐξίσταμαι *add.* M. — [8] *om.* N 3, Q, M 3. — [9] (κ. π.) *om.* M 1, 2, 4-6, 7, 9. — [10] *om.* M 6. — [11] *om.* N 3-6, Q ; ἤδη M. — [12] πλείους (πλείονας M 6 ; πλέον M 3) ἢ τριάκοντα καρτερῶ M. — [13] (ὁ ταπ.) καὶ M. — [14] (κ. λ. κ. μ.) *om.* M. — [15] φημι *add.* M 1-5, 7-9. — [16] (αἰδ. τ. ἀνδρὸς) ἐκείνου δυσωπηθέντες M. — [17] *om.* M. — [18] *om.* N 3, 4, 5, M 5. — [19] ἐπιφαινομένης *add.* M. — [20] μᾶλλον M. — [21] (τ. δ.) *om.* M ; διαγν//// N 5. — [22] προέτεινε M. — [23] ἐκέλευεν N 5, 6. — [24] (ἑ. φ.) *om.* M. — [25] οἷα M.

**7.** — [1] τε *add.* N 4. — [2] τούτοις τε (δὲ M 1, 7) καὶ ἄλλοις τισι M ; ἄλλα τε Q. — [3] ἡμᾶς ἐσιώπα M. — [4] ἠξίουν M. — [5] *om.* M. — [6] *om.* M. — [7] οὐδὲ N 2-4, 6, Q. — [8] ἐδόκει N 2-6, Q. — [9] οὐδὲ M 1-5, 8, 9 ; οὐδέπω M 6, 7. — [10] ἐγὼ *add.* M. — [11] τὰ ἐμαυτοῦ M.

(1) De templo Deiparae in civitate Paro, nunc *Παροικίᾳ*, supra, p. 221, annot. 3. — (2) De his legatur Zerlentes in *Byzantinische Zeitschrift*, p. 162.



UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN

*Vita*

A γὰρ ἐξῆλθον ἐνταῦθα πενθεῖν, οὐ [12] τὰ ὑπὲρ ἐμὲ ζητεῖν. » Ταῦτα δὲ [13] ἔλεγεν, εἴτε πλαττόμενος εἴτε [14] ἀληθεύων, λέγειν οὐκ ἔχω [15]. Λαβόμενος οὖν μου [16] τῆς δεξιᾶς καὶ καταψήσας [17] ὥσπερ συνήθης ἤδη· καὶ γὰρ αὐτὸν οὕτως [18] διέθηκε [19] τὸ ἁπλοῦν. Αἱ γὰρ ψυχαὶ τῶν μεγάλων [20] ἀνδρῶν, ἐπειδὰν ἐν μετοχῇ τοῦ κρείττονος ὦσι [21], πρὸς αὐτὸ [22] φιλονεικοῦσι [23] μεταγίνεσθαι, καὶ τῇ αὐτοῦ [24] τοῦ πρώτου ἀγαθοῦ μετουσίᾳ ἀγαθοὶ πάντῃ γίνονται [25], ἀκέραιοι, ἁπλοῖ, πάντων ἐξῃρημένοι τῶν [26] ἐφ' ἡμῖν, ὥσπερ [27] καὶ [28] οὗτος ὁ μέγας [29], χαρίεις τε ὢν καὶ ἀγαθός, ἐδόκει λοιπὸν τῷ ἀπλάστῳ εἷς ὢν ἐξ ἡμῶν. Εἶτα ἐπ' αὐτοσχεδίου καθίζειν [30] ἐκέλευεν [31]· ἦσαν δέ που καὶ λίθοι καὶ κίονες τοῦ συμπτώματος καὶ πόα συχνὴ καὶ χλοάζουσα καὶ [32] πηγὴ νάματος, ἡδὺ ποτὸν ἀποβλύζουσα [33] καὶ ὁ χῶρος [34] ὅλος [35] ἡσυχίας ἀνάπλεως καὶ διηγημάτων θείων ἐπάξιος [36].

*Arabum sacrilegia narrat.*

**8.** Καθίσας [1] οὖν ἐπὶ τῆς πόας καὶ αὐτόν με παρακαθισάμενος, ἐῴκει γεγηθέναι, ὅτι περ ἡμῖν περιέτυχεν. Ἀτενίσας [2] δὲ εἰς [3] αὐτόν· « Ὥρα σοι (ἔφην), ὦ πάτερ, εἴ τι καλὸν καὶ ἱστορίᾳ πρέπον δεῦρο [4] τεθέασαι, διηγήσασθαι [5]· πλὴν ἀλλ' ἄρχε λόγων καὶ [6] τέως κατάλεξον, τίς ὁ συντρίψας [7] τῆς θείας τραπέζης [8] τὸ κάλυμμα καὶ ποία [9] τις ἡ θηριώδης [10] ἐκείνη [11] ψυχή [12], τοσοῦτον ἔργον ἡ [13] συνθλάσαι τολμήσασα [14]. » Καὶ γὰρ κατὰ βραχὺ διενοούμην αὐτὸν ἐπαγαγέσθαι πρὸς τελεώτερα. Ὁ δ' ἔλεγεν τοῖα [15]· « Τὸν Νίσιριν ἐκεῖνον ἀκούεις [16] τὸν τοῦ ναυτικοῦ τῆς Κρήτης κατάρξαντα; Οὗτος ἐκεῖνος αὖθι [17] γενόμενος καὶ θαυμάσας αὐτοῦ τὸ τερπνόν [18], μεμελέτηκε πρὸς τὴν [19] Κρήτην [20] διαπορθμεῦσαι [21]. Ὡς δὲ τὰς πύλας ἐμέτρησεν [22] εἶτα τὸ ἱερὸν τοῦτο καὶ θεῖον ὀρόφιον ἔδοξέ τε καλῶς ἔχειν [23], καθῆκεν εἰς γῆν [24] καὶ πρὸς τὰς πύλας εἷλκεν ἐξάγων [25]· τὸ δ' [26] εὐθὺς [27] ἐγίνετο μεῖζον [28]· καὶ αὐτὸς τὸν τοῖχον διώρυττεν, εἶτα μετρήσας ἐξάγειν ἐσπούδαζεν· τὸ δ' αὖθις ἐγίνετο μεῖζον [29], καὶ ἤδη μειζότερον [30], καὶ τοῦτο πολλάκις, ἕως ὁ Ἄραψ ἐνέδωκεν [31]. Ὡς δ' ἀπετύγχανε καμὼν τοῦ σκοποῦ (οὐ γὰρ ἠξίου τὸ θεῖον, ὡς ἔοικε, κοινωθῆναι καὶ μιαραῖς δουλεύειν θυσίαις· καὶ γὰρ ἔσπευδεν [32], ὡς λέγεται τῇ συναγωγῇ [33] τοῦτο τῶν τῆς Ἄγαρ ἀνάθημα [34] καταθέσθαι), ἐκμανεὶς διενοήθη συνθλᾶν [35]. »

*Ultio in eosdem.*

**9.** Ταῦτ' [1] οὖν ἀκούσας, ἐλοιδορούμην [2] τὸν μιαιφόνον ἐκεῖνον καὶ τρισκατάρατον [3]. Ὁ δέ φησιν· « Ἀμέλησον, ἔδωκε γοῦν [4] τῆς παροινίας οὐ μετὰ πολὺ δίκην, πρὸς τῷ τῆς Εὐβοίης [5] συντριβεὶς ἄκρῳ [6], ὃ [7] Ξυλοφάγος καλεῖται [8], καὶ γέγονεν ὑποβρύχιος (1). » Ἐδυσώπησα [9] τοιγαροῦν, τὸν θεῖον ἐκεῖνον μετασχεῖν τροφῆς καὶ τὴν [10] ἡμῶν ὀλιγωρίαν ψυχαγωγῆσαι [11] τοῦ πλοῦ καὶ τῆς πρόσω [12] φορᾶς ἕνεκα· καὶ γὰρ χρονοτριβεῖν [13] ἐδοκοῦμεν [14], ἀντιπνεόντων ἡμῖν ἀποτροπαίων τῶν ἀνέμων. Ὁ δὲ καὶ μετέλαβε καὶ μηδὲν ἀποκρύπτων ἀνεῖπεν, ὡς· « Διαπλεύσεις μὲν εἰς Ναξίαν κἀκεῖσε μίαν ναυλοχησάμενος ἡμέραν καὶ τὴν δευτέραν πλεύσας, τριταῖος εἰς τὴν Κρήτην πορεύσῃς [15], μηδεμίαν ὑφορώμενος [16] κάκωσιν· διαθήσῃ [17] τε τὰ τῆς κατὰ σαυτὸν ὑποθέσεως [18], ὡς ἂν ἐθελήσῃς καὶ καθὼς ἔχει τὰ τῆς βασιλικῆς διατάξεως· αὖθίς τε παλινοστήσας [19] ἀποδεχθήσῃ καλῶς παρὰ τοῦ πέμψαντος. » Ταῦτα μὲν οὖν ὕστερον, ὡς ἐκεῖνος ἔφη, γέγονεν [20], καὶ πέρας ἀπείληφεν [21].

*Fausta quaecumque praenuntiat Nicetae.*

*Sacra celebrat mysteria.*

**10.** Εὐξάμενοι οὖν [1] καὶ ὑμνήσαντες ἐν τῷ ναῷ κατέβημεν εἰς τὰς ναῦς ἅμα τῷ μεγάλῳ γέροντι [2]· ἕωθεν δὲ διεπορθμεύθημεν [3] εἰς Ναξίαν, δέκα σχεδὸν σταδίους ἔχοντος τοῦ πορθμοῦ (2)· καὶ αὐτὸς τῷ Θεῷ λειτουργήσας καὶ τῶν θείων ἡμῖν μεταδοὺς μυστηρίων, μετέλαβεν [4] τροφῆς σὺν ἡμῖν, εἶτα λέγειν ἤρξατο πρός με· « Σὺ μὲν ἴσως προφασίσῃ περὶ ὧν παρακαλεῖν [5] ἐθέλω σου τὴν ἀγάπην, ἀπορίαν λόγων [6] ἢ δουλειῶν [7] ἀφορμὰς ἢ γυναικὸς καὶ τέκνων [8] καὶ οἴκου φροντίδας ἤ τινας ἄλλας αἰτίας, διακρουόμενος ἡμῶν [9] τὴν παράκλησιν [10]· ἐγὼ δέ σοι καὶ εὐη-

*Adhortatio.*

[12] οὐχὶ M. — [13] om. M 6; δ' N 1, M 3. — [14] εἴτ' N 1; (εἴτε - εἴτε) οὐκ M. — [15] (λ. ο. ἔχω) ἀλλὰ με-
C τριάζων μᾶλλον καὶ ταπεινούμενος ὡς τὰ μετὰ ταῦτα δείξει M. — [16] μοι M 8. — [17] καταψήξας N 1. — [18] οὕτω γὰρ αὐτὸν M. — [19] om. M 9. — [20] θείων M. — [21] γένωνται M. — [22] αὐτὸν N 2-6. — [23] καὶ add. M. — [24] αὐτῇ M 1-6, 8, 9. — [25] καθίστανται M. — [26] (ἐξ. τῶν) om. N 6. — [27] (τῶν - ὥσπερ) τῶν ἀνθρωπίνων ὥσπερ δὴ M. — [28] om. N 1. — [29] (ὁ μ.) om. M. — [30] καθέζειν N 4. — [31] (κ. ἐ.) που καθίζεσθαι (καθέζεσθαι M 5, 7) διεκελεύετο (διεκελεύσατο M 1) M. — [32] om. M 4, 9. — [33] ἀναβλύζουσα N 4, 5; (καὶ πηγὴ - ἀποβ.) om. M 5, 7. — [34] (κ. ὁ χ.) om. M 5. — [35] ἅπας N 2-6, Q. — [36] (καὶ δ. θ. ἐ.) ἦν M.

**8.** — [1] καὶ καθίσας M 6. — [2] ἀπιδὼν M. — [3] πρὸς M. — [4] (καὶ ἱ. π. δ.) ἐνταῦθα M. — [5] καλὸν διηγήσασθαι τῶν ὧν ἐνταῦθα τεθέασαι M 5. — [6] ἀλλὰ λόγου ἀρξάμενος M. — [7] ὁ διαθεὶς οὕτω M. — [8] τουτὶ add. M. — [9] om. M. — [10] ἀφιλόκαλος M. — [11] καὶ θηριώδης add. M 1, 2, 5-9. — [12] τε καὶ χεὶρ ἡ add. M. — [13] om. N 2-6, Q. — [14] (ἡ σ. τ.) ἀμερίμνως συντρίψασα M. — [15] ὁ δὲ ἤρξατο λέγειν N 2-6, Q; ὁ δὲ M. — [16] ἔφη add. N. — [17] ἐνταῦθα N 4; ὧδε M 2-9. — [18] (καὶ - τερπνόν) ἐν θαύματί τε τὸ ἔργον τοῦ κάλλους θέμενος M. — [19] (π. τ.) εἰς M. — [20] om. N 6. — [21] μετακομίσαι M. — [22] διεμέτρησε πρότερον M. — [23] καὶ add. M. — [24] τὴν γῆν M 2; (εἰς γῆν) om. M 1. — [25] ἐξάξων N 1; (καὶ - ἐξ.) ἕλκειν ἐπεχείρει τῶν πυλῶν ἔξω M. — [26] δὲ N 3, M. — [27] om. N 4. — [28] bis scribit N 6. — [29] τὸ δὲ καὶ (om. N 4) εὐθὺς (αὖθις N 5) μεῖζον ἐγίνετο N 2-6, Q; τὸ δὲ καὶ αὖθις μεῖζον ἐγίνετο F
M. — [30] καὶ μᾶλλον μεῖζον N 2-6, M. — [31] τοῦ βιάζεσθαι ἀλλ' οὐ τοῦ φθονεῖν add. M. — [32] (δ' - ἐσπ.) γὰρ κάμνων διημάρτανε τοῦ σκοποῦ, καὶ γὰρ ὡς ἔοικεν οὐκ ἠξίου τὸ θεῖον μιαρὸν γενέσθαι τὸ ἱερὸν ἔσπευδε γὰρ M. — [33] τῇ μυσαγωγῇ N 3, sed corr. rec. μυσαρᾷ συναγωγῇ. — [34] ἀναθημάτων N 2-6, Q. — [35] (ἐκμ. δ. σ.) συνθλάττει τὸ καλὸν ἐκεῖνο ἔργον (om. M 9) ὁ βδελυρὸς βασκήνας τοῦ κόσμου τῷ τῆς θεοτόκου νεῷ M.

**9.** — [1] ταῦτα M. — [2] αὖθις add. M. — [3] (ἐκ. κ. τ.) om. M. — [4] γὰρ M. — [5] Εὐβοίας N 4-6, et Q in ras.; κατ' Εὔβοιαν θαλάσσης M. — [6] ἄκρων N 4. — [7] om. N 1, 6, Q. — [8] ὠνόμασται M. — [9] ἠξίουν M. — [10] τὸ M. — [11] (ὀλ. ψ.) παρακαλέσαι μικρόψυχον M; (τὸ ἡμ. παρ.) om. M 7. — [12] om. M 7. — [13] τρίβειν M. — [14] τὸν χρόνον add. M. — [15] ἀφίξῃ M. — [16] ὑποστὰς M. — [17] διαθήσεις M, et corr. N 5. — [18] om. M. — [19] εὖ add. M. — [20] τε add. M. — [21] εἴληφεν αὐτός τε φανερὸς (φανερῶν M 5) ἐντεῦθεν (om. M 8) ὑπῆρξεν (ὑπῆρχεν M 5) ὅτι τὴν ἄγνοιαν ἣν πρότερον ἔλεγεν ἔχειν οὐκ ἀληθεύοντος ἦν ἀλλὰ διὰ πολλὴν μετριότητα προσποιουμένου τὸν ἀγνοοῦντα M, quae et addita sunt in marg. N 5.

**10.** — [1] γοῦν M 3-9. — [2] (ἅμα - γέροντι) om. N 1, M. — [3] διεπορεύθημεν M 6. — [4] μετάλαβε M 9. — [5] ἀξιοῦν M. — [6] λέγων N 2-6. — [7] δοκεῖ M 6. — [8] καὶ τέκνων καὶ γυν. Q. — [9] ἡμῖν M 7. — [10] ἀξίωσιν M.

(1) Ξυλοφάγος nunc ὁ Καφηρεύς. De Saracenorum naufragio silent ceteri scriptores. ZERLENTES, t. c., p.163. — (2) Lege quae de his habet ZERLENTES t. c., p. 163.

-μερίαν

VITA

μερίαν καὶ εὐετηρίαν καὶ [11] εὐπορίαν πάντων [12] ἐπαγγέλλομαι καὶ πολλὴν ἐκεχειρίαν [13] εὑρεῖν. Καὶ δυσωπῶ [14] τηνικαῦτα τῶν ἐμῶν λόγων ἐν μνήμῃ γενόμενον [15] τὸ τῇδε γεγονὸς συγγράψαι, μνήμης [16] καὶ διηγήματος ἄξιον, ἵν' ὁ Θεὸς ἡμῶν [17] παρὰ τῶν ἀκουόντων θαυμάζηται καὶ δοξάζηται [18]. Θαυμαστὸς γάρ, φησίν, ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. (Psalm. 67, 35.) Οὐ μὴν ἀλλὰ καὶ ζηλωταὶ πολλοὶ τῶν δι' ἀρετὴν [19] δοξασθέντων γενόμενοι [20] τῶν ἴσων τυγχάνωσιν [21] καὶ αὐτὸς κερδανεῖς τὸν ἐκ τούτων [22] μισθόν. »

*Refert Symeon quae audierat*

**11.** Ταῦτα παραινέσας [1] ἀπήρξατο [2] · « Κυνηγοί τινες ἐξ Εὐβοίης [3] δεῦρο πρὸ χρόνων ἦλθον ὀλίγων · ἔχει γὰρ ἡ νῆσος ἐλάφων [4] καὶ ἀγρίων αἰγῶν θήραν [5] πολλήν [6]. Τούτων εἷς θεοσεβὴς καὶ προσέχων ἑαυτῷ [7] μάλιστα, διήγημα διηγήσατο [8], τῆς τοῦ Θεοῦ μεγαλοπρεπείας οὐχ ἥκιστα σύνηθες [9], ὃς κατὰ καιροὺς θαυμαστὰ ποιεῖ [10] καὶ παράδοξα. Ἦλθον [11], φησίν, αὖθι [12] θηρεύσων ποτέ · καὶ πρὸς τὸν θεῖον τῆς Θεοτόκου σηκὸν [13] ἀνελθὼν προσεκύνησά τε καὶ προσηυξάμην, ὡς [14]
B ἔθος [15] ἀεί μοι προσῆν. Περιβλεψάμενος δὲ μετὰ τὴν εὐχήν, εἶδον εἰς τοὔδαφος ὕδωρ ἐν βόθρῳ βραχὺ [16] καὶ μικρὰ [17] βρεχόμενα θέρμια [18] (1) · καὶ γὰρ ὁ τόπος τρέφει ταῦτα, καθὼς αἱ λοιπαὶ νῆσοι βοτάνας ἀλλοίας [19] · ἡ μὲν γὰρ μαράθου [20] (2) πολυχύτους ὅρπηκας εἰς πλῆθος βλαστάνει [21], πήγανον (3) δὲ μονομερῶς [22] ἄλλη καὶ θύμβρον [23] (4) ἑτέρα ἢ θύμον [24] ἢ τῶν ἄλλων τινός [25] · ὃ δὲ φέρει [26] πάντων ἐξαίρετον ἡ νῆσος, τοῦτο τῶν ἄλλων [27] μᾶλλον τρέφει καὶ ποιεῖ εὐθαλέστατον [28] · ἑωράκειν οὖν, ὡς ἔφην, τὰ θέρμια [29] ἀπαλυνόμενα [30], καί με λογισμός τις ὑπῄει, ὡς πάντως εἴη τις ὁ ταῦτα καθεὶς [31] εἰς τὸν λάκκον καὶ θεῖος εἰκός ἐστιν ἄνθρωπος ὁ [32] ταύτην τὴν ἔρημον κατοικῶν.

*de sanctae mulieris*

**12.** Ταῦτ' οὖν λογιζόμενος [1], ἔσπευδον τὴν ἑταιρείαν [2] φθάσαι πρὸς τὴν ὕλην ἤδη χωρήσασαν, τυχεῖν δὲ [3] ηὐχόμην τοῦ μεγάλου τούτου θηράματος · ἤλπιζον γὰρ κερδάναι τι μέγιστον παρ' αὐτοῦ. Θηρεύσαντες [4] οὖν θήραν πολλὴν ἐχωροῦμεν ἐπὶ τὴν ναῦν · ἀλλ' ἐκεῖνοι μὲν ἐβάδιζον πρὸς τὴν θάλασσαν, ἐγὼ δὲ ἐτρεπόμην
C πρὸς τὴν εὐχήν. Εἰσελθὼν οὖν εἰς τὸ τῆς δεσποίνης ἡμῶν τοῦτο τέμενος, προσηυχόμην [5]. D
Ὁρῶ δὲ κατὰ τὸ δεξιὸν τῆς ἁγίας τοῦ ναοῦ τραπέζης οἷά τινα κρόκην ὑπ' [6] ἀνέμου ῥιπιζομένην, αὖθίς τε [7] ἔδοξα βλέπειν ἀράχνης [8] ἱστόν. Ὡς δὲ προβὰς διαγνῶναι τὸ φαινόμενον ἠβουλήθην [9], ἤκουσα φωνῆς λεγούσης [10] · « Στῆθι, μὴ προβῇς [11], ἄνθρωπε, πλέον μηδὲ πλησιάσῃς · αἰσχύνομαι γάρ, οὖσα γυνή, γυμνὴ θεαθῆναί σοι. »

*in insula*

**13.** Ταῦτ' οὖν ἀκούσας καὶ τῷ παραλόγῳ [1] καταπλαγεὶς ἠβουλόμην [2] φυγεῖν · ἀνεπήδησαν [3] γάρ μου [4] τῆς σαρκὸς αἱ τρίχες, καὶ γέγοναν [5] ἀκάνθης [6] ὀξύτεραι. Τὸ γὰρ ἀπροσδόκητον ἐξαπίνης φανὲν [7] δουλοῖ [8] τὰ φρονήματα (5), κἂν θρασύς τις [9] εἶναι δόξῃ · καταπλαγεὶς ἕστηκε [10] κεχηνώς. Εἰς ἑαυτὸν οὖν γενόμενος καὶ θαρρήσας [11] ἠρώτων, ὅστις [12] εἴη καὶ πῶς ταύτην κατοικεῖ τὴν ἔρημον [13]. Καὶ πάλιν ἐξικνεῖτο φωνή · « Ῥίψον μοι χιτῶνα [14], δέομαι, λέγουσα καὶ καλυψαμένη, ὅσον μοι τὸ θεῖον βούλημα κελεύει, λέγειν οὐκ ἀποκνήσω. » Περιελόμενος οὖν εὐθὺς τὸν ἐπενδύτην ἀφῆκα, καὶ τῆς πύλης ἐξέδρα- E
μον · ἡ δὲ λαβοῦσα περιεβάλετο [15]. Μετὰ μικρὸν δὲ [16] ὑποστρέψας ὁρῶ ταύτην ἔνθα καὶ πρὶν ἱσταμένην. Καὶ ἦν ἄρα τὸ μὲν σχῆμα [17] γυνή, τὸ δὲ φαινόμενον ὑπεράνθρωπον · θρὶξ λευκή, πρόσωπον μέλαν, μικρὰν [18] ὑποφαῖνον [19] λευκότητα [20], δερματὶς [21] συνέχουσα [22] τὴν ὀστῶν [23] ἁρμονίαν [24], ἥκιστα σαρκὸς ἐμπεφυκυίας [25], σκιᾷ παραπλήσιος, εἶδος μόνον τὴν ἀνθρωπίνην σῴζον ἐμφέρειαν [26].

*diuturno exsilio.*

**14.** Ταῦτ' [1] οὖν ἰδὼν (φησίν) ἐδεδοίκειν, ἔτρεμον, ἐλοιδορούμην ἑαυτόν [2], τῆς ἀκαιρίας ἐμεμφόμην [3], ὅτι μου τῆς ἑταιρείας [4] περιττὸς ὢν ἀπελείφθην [5] · σύντρομος ὅμως πρηνὴς πεσών, ἐδεόμην εὐχῆς εὐλογηθῆναί τε παρ' αὐτῆς ἐλιπάρουν. Ἡ δὲ πρῶτον μὲν ἐπιστραφεῖσα [6] πρὸς ἀνατολάς, τάχα βουλομένη [7] θεραπεῦσαί μου τὸν νοῦν [8] τοῦ μὴ δοκεῖν εἶναι φάντασμα, τὰς χεῖρας πετάσασα προσηύχετο, μικρὸν [9] ὑποψιθυρίζουσα [10], στραφεῖσα δὲ [11] πρός μέ φησιν · « Ὁ Θεός [12], ἄνθρωπε, ἐλεήσαι σε · πλὴν [13] τίνος χάριν πρὸς τὴν ἔρημον ταύτην ἀφῖξαι ; καὶ τίνος [14] δεόμενος πρὸς ἄοικον ἐλήλυθας νῆσον ; F

[11] (εὐετ. καὶ) *om.* M. — [12] πᾶσαν N 4. — [13] ἐγκεχειρίαν N 4. — [14] δέομαι M. — [15] ἐν μνήμῃ γενομένων λόγων N 2-6, Q. — [16] ὂν *add.* M. — [17] καὶ *add.* N 4. — [18] (καὶ δ.) *om.* M 5. — [19] ἀρετῆς Q, M. — [20] ὑψωθέντων γενόμενοι M. — [21] τυγχάνουσι Q. — [22] τούτου M.

**11.** — [1] ὧδε λέγειν *add.* M. — [2] πρᾶγμα ἐμοὶ παραδοὺς φιλοθέοις ἀκοαῖς τὰ μάλιστα χαριζόμενος (χαριζόμενον M 6) M. — [3] Εὐβοίας N 3, 5, M 5, 8, 7 (*in ras.*). — [4] τε *add.* M. — [5] ὅτι *add.* M. — [6] πολὺν M 9. — [7] αὐτῷ M 6. — [8] μάλιστα διηγή////σατο M 8. — [9] ἄξιον M ; σύνηθες *et sup. lin.* ἄξιον N 4. — [10] οἶδε θ. ποιεῖν M. — [11] γὰρ *add.* M 6. — [12] αὖθις N 4 ; αὐτόθι M. — [13] νεὼν M 1-9. — [14] ὥσπερ M. — [15] *om.* M 5. — [16] βραχεῖ M, Q. — [17] μικρά τε ἐν τούτῳ M. — [18] θέρμια, *in marg.* χολώκουκα Q. — [19] ἑτέρας M. — [20] μαράθρου M 1, 5 (2 ?) ; μαλάθρου M 4. — [21] ἀναβλαστάνει N 2-6. — [22] μόνως M (μόνω M 5). — [23] θύμον M ; Q *in marg.* : θύμβρον λάχανον ὅπερ ἐστι δρυμὶ καὶ πικρόν. — [24] (ἢ θ.) *om.* M. — [25] τινα Q ; τι βοτανῶν M (*om.* M 5). — [26] (ὃ δ. φ.) *om.* M 5. — [27] καὶ *add.* M. — [28] εὐθαλέστερον N 2-6, Q. — [29] οὕτως *add.* M. — [30] N 1, M 1, 2, 5, 7-9 ; ἀποπλυνόμενα M 3, 4, 6, *corr.* N 2, 5 ; πλατυνόμενα N 3, 4, Q. — [31] κεκαθεικὼς N 2-6, Q. — [32] *om.* M 6.

**12.** — [1] λογισάμενος Q. — [2] τὴν ἑταιρίαν ἔσπευδον M ; ἑταιρίαν N 5, 6. — [3] δ' N 1, M 3, 4, 6, 8. — [4] θηράσαντες N 2-5, Q. — [5] ///ηὐχόμην M 8. — [6] ὑπὸ M 1, 2, 6, 9. — [7] τ' N 1. — [8] *om.* M 6. — [9] ἐβουλήθην N 2-4, Q. — [10] λεγ. φωνῆς N 2-6, Q. — [11] (στ. μ. π.) *om.* M 8.

**13.** — [1] παραδόξῳ N 1-6, Q. — [2] ἐβουλόμην N 2-5, Q. — [3] ἀνωρθοῦντο M (ἀνωθοῦντο M 9). — [4] μοι M 6. — [5] γεγόνασιν N 2-6, Q. — [6] καὶ ἀκ. (ἀκάνθων M 1, 2) ἦσαν M. — [7] ὀφθὲν M. — [8] δηλοῖ N 1. — [9] *om.* M 1, 2, 5-9. — [10] ἕστηκα Q. — [11] θαρσήσας Q. — [12] τίς τε M. — [13] τὴν ἔρ. κατ. M. — [14] τι χιτώνιον M. — [15] περιεβάλλετο M 6. — [16] δ' N 1. — [17] εἶδος M. — [18] μικρὸν N 3, *et corr.* N 4, M. — [19] τὴν *add.* N 3, Q. — [20] λευκότητος M 1. — [21] δέρματι M. — [22] συνέχουσαν M. — [23] τῶν ὀστῶν M ; τῶν μελῶν N 3-6, Q. — [24] ἁρμογὴν M. — [25] ἐμπεφυίας N 3, Q. — [26] (σκιᾷ - ἐμφ.) ἐῴκει δὲ τὸ ὅλον σκία M.

**14.** — [1] ταῦτα M. — [2] ἐμαυτῷ N 2-6, Q ; ἑαυτῷ M 1, 2. — [3] ἐμ. τ. ἀκ. M. — [4] N 3, 6, M 8 ; *cet.* ἑταιρίας. — [5] ἀπολειφθεὶς τοιούτῳ ἐνέτυχον M. — [6] ἀποβλέψασα M. — [7] *om.* N 4. — [8] τὴν διάνοιαν M. — [9] *om.* Q. — [10] εἶτα *add.* M. — [11] *om.* M. — [12] ὁ Θ. φησιν M. — [13] ἀλλὰ *add.* M. — [14] ὅτου M.

(1) Θέρμιον, θέρμος, lupinus, leguminum genus. — (2) Μάραθον, foeniculum. — (3) Πήγανον, ruta, herba. — (4) Θύμβρα, θυμβραία, satureia, herba odorata. — (5) THUCYDIDES, II, 61 : δουλοῖ γὰρ φρόνημα τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον καὶ τὸ πλείστῳ παραλόγῳ ξυμβαῖνον.

ἀλλ'

VITA

A ἀλλ'[15] ἐπεί σε[16] δεῦρο τὸ θεῖον ἤγαγε βούλημα (δοκῶ μοι τῆς ἐμῆς ἕνεκα ταπεινώσεως[17]), πάντα τὰ κατ' ἐμαυτὴν[18] ὡς ἠρώτησας[19], ἀναδιδάξω[20]. » Ἐμοῦ δὲ καὶ πάλιν εἰς γῆν ἑαυτὸν καταρρίψαντος[21] καὶ λέγειν παρακαλοῦντος[22], τοιῶνδέ που λόγων ἀπήρχετο[23].

*Theocliste historiam suam narrat.*

**15.** « Ἐμοί φησιν Λέσβος πατρίς, Μήθυμνα[1] πόλις, ὄνομα Θεοκτίστη, τὸ πολίτευμα μοναχή. Ἔτι νηπία δ' ὀρφανισθεῖσα[2], παρὰ τῶν συγγενῶν[3] ἐδόθην εἰς παρθενῶνα καὶ τὸ[4] μοναχικὸν ἠμφίεσμαι σχῆμα. Γεγονυῖα δὲ χρόνων ἐγγὺς ὀκτωκαίδεκα, κατὰ τὰς Πασχαλίους[5] ἡμέρας εἰς τὴν πλησίον τῆς[6] πόλεως ἐξέδραμον κώμην, ἀσπασομένη[7] τὴν ἀδελφήν · ἦν γάρ μοι κατοικοῦσα πρὸς τῇ κώμῃ[8] μετὰ συμβίου. Νυκτὶ[9] δὲ ἐπιδραμόντες Ἄραβες Κρῆτες, ὧν ἀρχηγὸς ὑπῆρχεν[10] ὁ Νίσιρις[11] ἐκεῖνος, ᾐχμαλώτισαν ἅπαντας[12] (1). Ἕωθεν οὖν παιανισάμενοι[13] ἀπέπλευσαν καὶ τῇ νήσῳ ταύτῃ προσώρμισαν[14] · προαγαγόντες[15] δὲ τοὺς αἰχμαλώτους, ἠργυρολόγουν καὶ[16] τὰ τιμήματα διετίθεντο · ἐγὼ δὲ
B σκηψαμένη[17] πρόφασιν καὶ πρὸς τὴν ὕλην χωρήσασα, δρόμῳ πρὸς τὸ[18] πρόσω καὶ[19] τὸ ἐνδότερον ἐχώρουν τῆς νήσου. Καὶ λοιπὸν[20] οὐκ ἐνέδωκα φεύγουσα ἕως ταῖς πέτραις καὶ τοῖς ὀξέσι τῶν ξύλων περιπείρασα τοὺς πόδας κατέκοψα τοῖς τε αἵμασι τὴν γῆν κατεμίανα[21] · καὶ τέλος ἐξατονήσασα[22] κατέπεσον ἡμιθνής[23]. Καὶ τὴν μὲν πᾶσαν νύκτα τὰς ὀδύνας τῶν τραυμάτων οὐ φέρουσα[24] πικρῶς διετέλουν.

**16.** Ἕωθεν δὲ τοὺς ἀλιτηρίους[1] ἀποπλέοντας ἰδοῦσα, πάσης ἀπηλλάγην ὀδύνης θυμηδίας τε ὅσης[2] ἐνεπιμπλάμην[3], οὐκ ἔστιν εἰπεῖν[4] · καὶ νῦν ἤδη πέντε καὶ[5] τριάκοντα χρόνους[6] καὶ μικρόν τι πρὸς ἐνταῦθα τοῖς θερμίοις καὶ ταῖς ἐκ τῆς ἐρήμου τρεφομένη βοτάναις, μᾶλλον δὲ τῷ τοῦ Θεοῦ λόγῳ διατελῶ, μεμνημένη τῶν θείων λογίων, ὡς οὐκ ἐπ' ἄρτῳ μόνῳ
Matth. 4,4. ζήσεται ἄνθρωπος ἀλλ' ἐν[7] παντὶ ῥήματι ἐκπορευομένῳ[8] διὰ στόματος Θεοῦ. Ἐγυμνώθην δέ, τῶν ῥακίων μοι[9] διερρωγότων, οἷς[10] συνῃχμαλώτισμαι, ἐνδύομαι δὲ[11] καὶ σκέπομαι θείᾳ χειρί[12], τῇ[13] συνεχούσῃ τὰ σύμπαντα[14]. » Ταῦτ' οὖν[15] εἰποῦσα καὶ πρὸς οὐρανὸν ἀνατείνασα τοὺς ὀφθαλμοὺς ηὐχαρίστησε · διασχοῦσα[16] δὲ μικρόν, ἐπεί με πρὸς γῆν ἑωράκει σὺν ἡσυχίᾳ πολλῇ[17] νεύοντα καὶ μηδὲ[18] πρὸς αὐτὴν ἀτενίσαι τολμῶντα[19], λέγει πάλιν ἀρξαμένη[20] · « Τὰ μὲν κατ' ἐμαυτήν[21], ἄνθρωπε, διηγησάμην, αἰτῶ δέ σε μίαν[22] ἀποτῖσαί μοι χάριν διὰ τὸν Κύριον. Ἡνίκα τοιγαροῦν[23] μέλλεις[24] εἰς νέωτα[25] πρὸς τὴν νῆσον ταύτην ἕνεκα θήρας[26] ἐκπλεῖν — οἶδα γὰρ ὡς ἥξεις πάντως, εὐδοκοῦντος[27] Θεοῦ — ἐν σκεύει[28] λαβεῖν μοι καθαρῷ μίαν τῶν ἀχράντων δωρεῶν[29], τοῦ σώματος τοῦ[30] Κυρίου ἡμῶν Ἰησοῦ[31] Χριστοῦ · καὶ γὰρ ἐξ οὗ[32] τὴν ἔρημον ταύτην κατῴκησα[33], τῆς[34] τοιαύτης οὐκ ἠξίωμαι δωρεᾶς. »

*Rogat ut eucharistia sibi afferatur;*

**17.** Ταῦτ'[1] οὖν εἰρηκυῖα καὶ μηδενὶ τὸ παράπαν περὶ τούτων εἰπεῖν[2] ἐντειλαμένη, σὺν εὐχῇ με πρὸς τοὺς ἑταίρους ἀπέστειλεν[3]. Ἐγὼ δὲ πάντα πληρώσειν συνθέμενος, χαίρων[4] ἐξῄειν ὅτι μου τὴν ἔφεσιν ὁ Θεὸς[5] ἐξεπλήρωσεν, ὅτι με τοιούτου τυχεῖν ἠξίωσε θησαυροῦ[6]. Κατὰ E
γοῦν τὸ πρόσταγμα τῆς ὁσίας, ἡνίκα πάλιν μετὰ τῶν ἑταίρων ἔμελλον ἐξιέναι πρὸς θήραν ἐλάφων[7] καὶ ἀγρίων[8] αἰγῶν, οὓς ἡ τοιαύτη νῆσος πολλοὺς καὶ[9] μεγίστους[10] τῶν ἄλλων μᾶλλον[11] τρέφει, θαῦμα καὶ ἰδέσθαι[12] καὶ διηγήσασθαι · τοῖς μὲν γὰρ ἐλάφοις τὴν χροιάν[13] εἰσι παραπλήσιοι, μείζους δ' ἐλάφων τὸ μέγεθος[14], τὸ δὲ κέρας δολιχὸν[15] ὅσον ἑκκαιδεκάδωρον, οὐχ ὡς τῶν ἐλάφων ὄζοις[16] καὶ παραφυάσι κοσμούμενον[17], ἀλλ' ἰθυτενὲς ὅλον καὶ μίαν τὴν κεραίαν[18] προτεινόμενον[19]. Ὡς[20] οὖν ἔμελλον[21], ὡς εἴρηται, πρὸς θήραν ἐκπλεῖν, λαβόμενος μερίδα τῆς θείας τοῦ Κυρίου σαρκὸς ἐν πυξίῳ, πρὸς τὴν μακαρίαν ἐκόμιζον · ἐλθὼν δ' ἐν τῇ νήσῳ[22] καὶ πρὸς τὸν οἶκον τῆς Θεομήτορος ἐκκλίνας, ταύτης[23] διήμαρτον, εἴτε παρούσης καὶ λανθανούσης, ἐπεὶ δήπουθεν[24] συνανῆλθον καὶ[25] τῶν ἑταίρων τινές, εἴτ'[26] ἀπούσης, λέγειν οὐκ ἔχω, πλὴν ὅτι διήμαρτον.

*qua, post annum,*

**18.** Οἱ μὲν οὖν ἄλλοι πρὸς τὴν ὕλην θηρεύ-

*reverenter accepta,*

C [15] om. M. — [16] ἐπεὶ δέ σε M. — [17] ταπ. ἕνεκα N 2-6, Q. — [18] ἐμὲ M. — [19] ἠθέλησας N 2-6, Q. — [20] ὅπως ἔσχε διδάξω M ; σε add. M 6. — [21] καταβεβληκότος M. — [22] δεομένου M ; (καὶ λ. π.) om. N 2-6, Q. — [23] που ἤρχετο λόγων, λόγων τινῶν σειρήνων, ποίων ἠρινῶν ἀηδόνων οὐκ ἀποκρυπτόντων τὴν ἡδονὴν M ; ἀπήρχετο λόγων τινῶν σειρήνων κ. τ. λ. N 4.

**15.** — [1] Μίθυμνα N 1. — [2] ἐπὶ νηπίᾳ δέ μοι τῇ ἡλικίᾳ τῶν γεννητόρων κατοιχομένων M. — [3] (π. τ. σ.) om. M 2. — [4] om. N 3. — [5] (γεγ. - πασχαλίους) ἔτη δὲ ἐγγύς που ὀκτωκαίδεκα γενομένη περὶ τὰς τοῦ Πάσχα M. — [6] om. Q. — [7] ἀσπασαμένη N 3, 4 ; ἀσπασαμένης M 6. — [8] πόλει M 5. — [9] νυκτὸς M. — [10] om. M. — [11] ἦν add. M. — [12] πάντας ἡμᾶς αἱροῦσιν M. — [13] παιανίσαντες M. — [14] πρ. τ. M (προσώρμισαν om. M 5). — [15] προσάγοντες M 6 ; προσαγαγόντες M 1-5, 8. — [16] (ἠργ. καὶ) om. M. — [17] σκεψαμένη N 4, M 7. — [18] δρόμου τοῦ M. — [19] πρὸς add. M. — [20] (κ. λ.) εἶτα M. — [21] πόδας ἐξαίμους διέθηκα καὶ τὴν γῆν τοῖς αἵμασι κατεμόλυνα M. — [22] ἀτονήσασα M. — [23] ἡμιθανής N 4, M 1, 2, 6, 9. — [24] οὐ φ. τ. τραυμ. M.

**16.** — [1] ἀλάστορας ἐκείνους M. — [2] (θ. τ. ὅ.) ἡδονῆς τε ὁπόσης (ὅσης M 1, 2, 5, 9) M. — [3] ἀπέλαυον M, ἐνεπιπλάμην N 6. — [4] ἡ γὰρ τοῦ λίαν φοβοῦντος ἐλευθερία παντὸς ἄλλου λυποῦντος ἐμπαρεῖχέ μοι λήθην add. M. — [5] πρὸς (om. M 6) τοῖς add. M. — [6] χρόνοις M 8. — [7] ἐπὶ N 4, 5, Q, M 4. — [8] ἐκπορευόμενον N 6. — [9] μου Q, M ; ἤδη add. M. — [10] οἵσπερ δὴ καὶ M. — [11] om. M 5. — [12] χάριτι M 5. — [13] om. M 2 ; τὸ F
πᾶν add. M. — [14] (τ. σ.) om. M. — [15] ταῦτα M. — [16] καὶ τὸ ὄμμα εἰς οὐρανοὺς τείνασα (ἀνατείνασα M 5) ηὐχαρίστησε διαλιποῦσα M. — [17] πολὺ N 4. — [18] corr. M 8. — [19] αἰδὼς γάρ μου κατεῖχε τοὺς ὀφθαλμοὺς ἣν ἔτικτε μέγεθος ἀρετῆς add. M. — [20] λέγειν (λέγει M 4-6) ἀρξαμένη πάλιν M. — [21] εἶπεν add. M ; ὦ add. N 3-6, Q. — [22] ταύτην add. M. — [23] μετὰ ταῦτα M. — [24] om. M 1, 2, 5, 8. — [25] (εἰς ν.) om. M. — [26] (ἕν. θ.) θήρας χάριν M ; μέλλεις add. M 1, 2. — [27] εὐδοκιμοῦντος M 6. — [28] σελεύκει M 6. — [29] μερίδων M. — [30] om. M 5. — [31] (Κυρίου ἡμῶν Ἰησοῦ) om. M. — [32] ὅτου N 2-6, Q. — [33] ὤκησα M. — [34] om. N 2-6, Q.

**17.** — [1] ταῦτα M. — [2] εἰπεῖν π. τ. M. — [3] ἀφῆκεν M. — [4] χαίρειν M 8. — [5] (ὁ Θ.) om. N 3 ; in marg. corr. N 4 ; μου Θεὸς τὴν ἔφεσιν Q. — [6] ὅτι τοιούτου ἠξίωμαι τυχεῖν (τ. ἠ. M 7) θησαυροῦ καὶ ζώων ἀγρίων θηρευτὴς ὢν ἀνθρώπων γέγονα εἰ μὴ προσήκει μᾶλλον ἀγγέλων καλεῖν M. — [7] τε add. M. — [8] om. M 2. — [9] om. Q. — [10] μεγάλους M 6. — [11] μάλιστα M. — [12] ἰδεῖν τε M. — [13] χρείαν M 7. — [14] δὲ τὸ μέγεθος ἢ κατ' ἔλαφον M. — [15] in marg. notat Q : τὸ μακρὸν. — [16] in marg. notat Q : κλάδοις. — [17] κοσμούμενος M 3, 5. — [18] καιρίαν Q. — [19] καὶ διὰ μιᾶς τῆς κεραίας περαινόμενον M. — [20] ἧς N 2 ; ἐπεὶ M. — [21] om. M 9. — [22] ἐν (om. M 7) τῇ νήσῳ δὲ γενόμενος M. — [23] ταύτην M 5. — [24] (ἐπ. δ.) ὅτι μοι καὶ M. — [25] om. M ; μοι N 1. — [26] εἶτε N 2, 5, 6, Q, M ; καὶ add. M.

(1) De Arabum Cretensium in insulam Lesbum primis saeculi IX decenniis irruptione, deque eorum duce Nisiri nulla est in Chronicis memoria.

-σοντες

VITA σοντες [1] ὥρμησαν, ἐγὼ δὲ διαλαθὼν [2] πρὸς τὸν ναὸν ὑπενόστουν [3] · καὶ δὴ παρευθὺ [4] τὸ ἱερὸν ἀνέφανε [5] γύναιον, τὸ χιτώνιον περιβεβλημένον, ὅπερ πρότερον εἰλήφει παρ' ἐμοῦ [6]. Εἰς γῆν δέ μου ῥίψαντος [7] ἑαυτόν [8], ἔδραμε καὶ σὺν δάκρυσι πόρρωθεν ἔλεγε · «Μηδαμῶς [9], ἄνθρωπε, μὴ [10] τοῦτο ποίει, τὸ θεῖον δῶρον ἐπιφερόμενος · μὴ [11] φλέξῃς με τὴν ἀθλίαν, ἀτιμάζων [12] τὰ θεῖα.» Λαβομένη [13] γοῦν μου [14] τοῦ χιτῶνος, ἀνέστησεν · ἐγὼ δ' [15] ἐξήγαγον τοῦ κόλπου μου [16] τὸ πυξίον σὺν τῇ δεσποτικῇ σαρκί. Πεσοῦσα δ' [17] εἰς γῆν ἐκείνη [18], τὸ θεῖον ἀπέλαβε καὶ θρήνοις καὶ δάκρυσι τὴν γῆν καταβρέχουσα [19] ἔλεγε [20] · «Νῦν ἀπολύεις [21] τὴν δούλην σου, δέσποτα, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὅτι μου τὴν ἄφεσιν τῶν ἁμαρτημάτων ἐν ταῖς χερσὶν ἔλαβον · νῦν, ὅπου κελεύει σου τὸ [22] κράτος οἰχήσομαι.» (Luc. 2, 29.)

*migrat ad Dominum;* **19.** Ταῦτ' οὖν [1] εἰποῦσα καὶ τὰς χεῖρας πρὸς οὐρανὸν [2] ἐπὶ πολὺ [3] διατείνασα, μετ' εὐχῆς με πρὸς τοὺς ἑταίρους ἀπέστειλεν. Ὀλίγας δὲ [4] B θηρεύσαντες ἡμέρας καὶ δαψιλῆ [5] θήραν ἀγρεύσαντες [6] ὑπεστρέφομεν [7] · κἀκεῖνοι [8] μὲν [9] ὥρμησαν πρὸς τὸ πλοιάριον, ἐγὼ δ' [10] ἔτρεχον, τῆς μακαρίας τὴν εὐχὴν [11] συνοδοιπόρον λαβεῖν. Γενόμενος δὲ κατὰ τὸν ναὸν [12] εἶτα περιβλεπόμενος [13] θεάσασθαι ταύτην, ὁρῶ κατὰ τὸν τόπον, ἔνθα καὶ πρὶν ἑωράκειν αὐτήν, μεταλλάξασαν [14]. Πεσὼν οὖν καὶ ἀσπασάμενος τοὺς τιμίους αὐτῆς [15] πόδας, καὶ δάκρυσι [16] καταβρέξας [17], ἐνεὸς [18] εἱστήκειν ἐπὶ πολὺ διαπορούμενος, ὅ, τι καὶ διαπράξομαι [19]. Σῶφρον [20] μὲν [21] οὖν ἦν [22] καὶ συμφέρον ἄρα [23] δάκρυσιν ἱκετεύσαντα [24] D τὸν Θεὸν καὶ δυσωπήσαντα τὴν ὁσίαν, αἰτῆσαι [25] τὴν οἰκονομίαν τοῦ πράγματος καὶ καθὼς [26] ἔδοξεν [27] ὑπουργῆσαι τῷ θείῳ προστάγματι [28] · εἰ δὲ τούτου [29] διήμαρτον, δεύτερον ἐχρῆν (τὸ δὴ λεγόμενον) μετιέναι πλοῦν (1), τοῖς ἑταίροις τὸ δρᾶμα κοινώσασθαι, τάφῳ καταθεῖναι σὺν αὐτοῖς τῆς μακαρίας [30] τὸ λείψανον, ὑμνήσαντας [31] ὅση δύναμις · ἀλλ' ὡς ἔοικε, δυσθήρατον χρῆμα τὸ σωφρονεῖν [32]. Ὅθεν καὐτὸς [33] τοῦ καλοῦ διημάρτηκα καὶ τοῦ πρέποντος [34] · ἀγροικίᾳ δὲ [35] καὶ φρενῶν ἐλαφρίᾳ [36] (τί γὰρ ἂν κυνηγὸς καὶ ἰδιώτης διενοήθην καινότερον [37];) τολμηρόν τι πεποίηκα, πίστει μὲν ὡς ἐδόκουν, πλὴν ὡς ἔοικεν [38] οὐκ ἀρέσκον Θεῷ [39]. Τὴν γὰρ ταύτης [40] ἀποτεμόμενος χεῖρα καὶ λινῷ [41] περιειλήσας ὑφάσματι [42], κατῆλθον [43] εἰς τὴν ναῦν. (*sepelitur a venatore, qui manum eius amputat.*)

**20.** Βαθείας γοῦν [1] ἑσπέρας ἀναχθέντες ἀπὸ τῆς γῆς καὶ τὴν ὀθόνην πετάσαντες ἐφερόμεθα · αἰσίων τε τῶν ἀνέμων πνεόντων ἐξ οὐρίας ὥσπερ ἱπτάμενοι προσεδοκῶμεν [2] πρωΐθεν ἥξειν εἰς Εὔβοιαν. Ὡς δὲ διέφαυσεν [3] ἡμέρα, πάλιν E εὑρέθημεν εἰς τὸν αὐτὸν ἑστῶτες λιμένα, καθάπερ ὑπ' ἀγκύρας ἢ τινος ἰχθύος ναυκράτου τῆς νηὸς ἐχομένης. Φόβος οὖν ἔλαβεν ἅπαντας καὶ δέος καὶ ἀλλήλους περισκοποῦντες σύντρομοι τὴν αἰτίαν ἐζητοῦμεν τοῦ πράγματος, διερευνώμενοι καὶ ἀνακρίνοντες, μήπου τι τῶν ἀνηκέστων ἡμῖν πεπραγμάτευται, δι' ὅπερ εἰργόμεθα. Ὡς δὲ [4] ἄλλος ἄλλο διαπορούμενος ἔλεγε, συνεὶς ἐγὼ τὸ τολμηθέν, λαθὼν ἅπαντας [5] ἀνῆλθον εἰς τὸν ναὸν καὶ θέμενος τὴν χεῖρα πρὸς (*Navis miraculo in portu haeret,*)

**18.**— [1] θηρεύοντες N 3. — [2] λαθὼν Q. — [3] *in marg. notat* Q : ὑπανεχόρουν. — [4] παραχρῆμα M. — [5] ἀνεφάνη M (ἐφάνη M 2). — [6] ἡμῶν M. — [7] καταβαλόντος M (καταβαλλόντος M 5). — [8] ἐμαυτὸν M 2, 3, 4, 6, 7, 9. — [9] μηδαμῶς ἔλ. M. — [10] *om.* N 3. — [11] καὶ *add.* M. — [12] ἀτιμάζω N 6. — [13] λαβομένου N 6. — [14] μοι N 6 ; (γ. μ.) οὖν M. — [15] δὲ M. — [16] *om.* N 6. — [17] δὲ N 2-6, Q ; (π. δ.) κἀκείνη πεσοῦσα M. — [18] *om.* M. — [19] βρέχουσα M 3, 4, 6-9. — [20] φέρει γὰρ οὐ λύπη μόνον ἀλλὰ καὶ ἡδονὴ δάκρυον οἱονεὶ τὸ ταπεινὸν καὶ πολυπενθὲς δηλοῦσα τῆς ἡμῶν φύσεως M, *et* N 5 *in margine.* — [21] ἔλεγε *add.* M. — [22] (σ. τ.) τὸ σὸν M.

C **19.** — [1] ταῦτα M. — [2] πρὸς οὐρ. τ. χ. N 3, Q. — [3] ἐπὶ π. εἰς οὐρανοὺς M.— [4] τινας *add.* M. — [5] τὴν *add.* M. — [6] ἀγ. θ. Q. — [7] (ἀγ. ὑπ.) συσχόντες ἐπανηρχόμεθα M. — [8] κἀκείνους M. — [9] *om.* M 6. — [10] δὲ N 2-6, M. — [11] (ὥρμησαν - εὐχὴν) ἡ πρὸς τὸ πλοῖον εἶχεν ὁδὸς ἐγὼ δὲ πρὸς τὸ μέγα θήραμα τὸ ἐμὸν ἔθεον τὴν εὐχὴν ταύτης ἐθέλων (*om.* M 6) M. — [12] νεὼν N 2-6, Q. — [13] περιβλεψάμενος M 3, 5 ; ὡς ἴδοιμι ταύτην ὢ ἄξιον ἐκείνης χαρᾶς ὅραμα ἐμοῦ δὲ δακρύων *add.* M. — [14] κειμένην οἴμοι νεκράν M, *et al. manu* N 5 *loco* μεταλλ. πεσών.— [15] τοὺς ὡραίους ὄντως (*om.* M 1, 5, 8) φιλήσας M. — [16] δάκρ. τε M. — [17] αὐτοὺς *add.* M. — [18] ἐννεὸς N 1, 5 *et* 4 *corr.*, M 6. — [19] πράξαιμι M 1, 2, 4-9 ; διαπράξαιμι M 3. — [20] σοφὸν M. — [21] *supra lin.* Q. — [22] *om.* M 5, 8.— [23] συμφ. ἄρα καὶ N 4, 6 ; συμφ. καὶ N 3 ; ἄρα καὶ συμφέρειν Q ; ἄρα///// N 5. — [24] ἐξιλεωσάμενον M. — [25] (δυσ. - αἰτῆσαι) δεηθέντα τῆς μακαρίας αὐτῇ ἐπιτρέψαι M. — [26] ὥσπερ M. — [27] ἔδειξεν N 2-6. — [28] (τ. θ. π.) ταύτῃ θελήματι (*om.* M 9) θείῳ M. — [29] ταύτης M 2, 5, 6, 7, 9 ; αὐτῆς M 1 ; ταύτῃ M 3. — [30] (δεύτερον - μακαρίας) κατὰ δεύτερον τὸ ᾀδόμενον πλοῦν τοῖς ἑταίροις ἐχρῆν τὸ δρᾶμα κοινώσασθαι καὶ τάφῳ σὺν αὐτοῖς καταθεῖναι τῆς ὁσίας M. — [31] ὑμνήσαντες N 2-4, 6. — [32] (τ. σ.) ἡ τοῦ εὖ ἔχοντος ἐν πολλοῖς γνῶσις M. — [33] καὶ αὐτὸς *corr.* N 5 ; αὐτὸς M. — [34] καλοῦ τε καὶ πρέποντος διημάρτανον. — F [35] *om.* Q. — [36] κουφότητι N 2-6, Q.— [37] ὅμως *add.* Q ; (κυν. - καινότερον) καὶ μέγα (*om.* M 6) διενοήθην ἰδιώτης καὶ ἐπὶ (περὶ M 4, 6, 7, 8) θήραν ἐπτοημένος ἀνὴρ M. — [38] (ὡς ἔ.) *om.* M.— [39] καθὼς αὐτὸ τὸ πέρας ἔδειξεν · ἐπεὶ μηδὲ καλόν φασι (φησὶ M 6) τὸ καλὸν οὐ καλῶς γινόμενον *add.* M. Cf. GREGOR. NAZIANZ., *Or.* XXXIII, *P.G.*, t. XXXVI, p. 531 C. — [40] αὐτῆς M. — [41] ὀθόνη M. — [42] *om.* M. — [43] κατέρχομαι M.

**20.** — [1] οὖν N 2, 4-6. — [2] προσεδοκοῦμεν N 1. — [3] ἔφθασεν N 2, 4 ; ἔφαυσεν Q. — [4] δὴ *add.* N 6. — [5] (λ. ἀπ.) *om.* Q.

*Codd. M.* **20.** Βαθείας γοῦν [1] ἑσπέρας ἀναχθέντες ἀπὸ τῆς γῆς καὶ τὸ ἱστίον πετάσαντες ἐφερόμεθα. Αἰσίως [2] δὲ τῶν ἀνέμων πνεόντων, ὥσπερ τῆς νηὸς ἱπταμένης, ἅμα φωτὶ τὴν Εὔβοιαν καταλαβεῖν ᾠήθημεν. Τὸ δὲ ἦν ἀτεχνῶς μάταιον · ἐπεὶ γὰρ ἡμέρα ἦν, ἐν τῷ αὐτῷ ὄντες λιμένι πάλιν εὑρέθημεν καὶ ἡ ναῦς ἐῴκει πεπεδῆσθαι, πάσαις τε κώπαις καὶ ἀνέμοις ἦν ἀπειθής. Δέος οὖν ἔλαβε πάντα καὶ εἰς ἀλλήλους ὡρῶμεν, τὴν αἰτίαν τοῦ πράγματος οὐκ ἔχοντες συμβαλεῖν. Ὀψὲ δέ μοι τὸ [2] τῆς θείας χειρὸς ἐπὶ νοῦν ἐλθὸν καὶ διανοηθείς, μήποτε τοῦτο εἴη ὃ ἀνθέλκει τὴν ναῦν λαβὼν ταύτην καὶ λαθὼν ἀνῆλθον εἰς τὸν ναὸν [4] καὶ παραθεὶς αὐτὴν τῷ λοιπῷ σώματι, κατῆλθον εἰς τὸ πλοῖον καὶ εὐθὺς ἐλυόμεθα.

**20.** — [1] οὖν M 6. — [2] *corr. in ras.* M 3 ; αἰσίων M 1, 5, 6, 7, 8, 9. — [3] *om.* M 1, 2, 5. — [4] (λαβὼν - ναὸν) *om.* M 3, 4.

(1) Proverbium. APOSTOLII Cent. V, 98 : Δεύτερος πλοῦς · ὅτε ἀποτυχών τις οὐρίου κώπαις πλεῖ. LEUTSCH-SCHNEIDEWIN, *Corpus Paroem. graec.*, t. II, p. 362.

τῷ

A τῷ τῆς ἁγίας σώματι, κατῆλθον εἰς τὸ πλοιάριον· διακελευσάμενος δὲ τοῖς σὺν ἐμοὶ τῆς πορείας ἠρχόμην[6].

*donec manus illa reposita est.*

21. Ὡς δὲ ἐξήλθομεν ἐπὶ πολύ, πτηνή τις ἦν ἡ σκάφη λοιπόν τῆς ὀθόνης, πληρουμένης τοῦ πνεύματος, καὶ ἀκώλυτος ἡ ὁδὸς καὶ εὐθεῖα· καὶ τότ'[1] ἐγὼ διεξῄειν τοῖς ἑταίροις τὸ δρᾶμα καὶ ὡς εὗρον τὴν μακαρίαν καὶ ὡς τὰ κατ' αὐτὴν ἀνήγγειλεν[2] καὶ τὸ τῆς θείας δωρεᾶς καὶ τὴν αὐτῆς κοίμησιν καὶ ὅτι τὴν χεῖρα ταύτης[3] ἔχων εἰσῄειν ἑσπέρας καὶ δι' αὐτὴν ἐκρατούμεθα τάχα κἂν[4] ἠλπίζομεν πλεῖν, καὶ νῦν ὅτι περ εἰκότως[5] εὐθυποροῦμεν, ἐπείπερ ἀπεθέμην[6] τὸ λείψανον. Ταῦτ' οὖν ἀκούσαντες ἐκεῖνοι καὶ πολλὰ[7] καταμεμψάμενοι, πρύμναν τε εὐθέως ἐκρούσαντο καὶ σπουδῇ πολλῇ[8] πρὸς τὴν Πάρον ἀνέστρεφον· καὶ πάντες ὁμοῦ δρόμῳ πρὸς τὸν ναὸν ἐχωροῦμεν, διορρωδοῦντες μὲν καὶ τρέμοντες, πίστει δὲ θαρροῦντες ὅμως προσῆμεν[9]· καὶ τὸν μὲν τόπον εὕρομεν ἤδη[10] τῆς θέσεως ὥσπερ τὸν τύπον τοῦ σώματος δια- B σῴζοντα, γέγονε δ' ὁ νεκρὸς ἀφανής. Θάμβος οὖν ἔλαβεν ἅπαντας καὶ τρόμος καὶ τῇδε κἀκεῖσε διεθέομεν, περισκοποῦντες, περιβλεπόμενοι, μήπου μετέπεσεν, ἢ ἀνεβίω, καὶ πᾶσαν τὴν ὕλην καὶ τὰ ἄλση περιεθέομεν ἐξιχνεύοντες, εἴ που τὸ θεῖον ἐκεῖνο κειμήλιον κρύπτεται[11], δείλαιοι καὶ ἀνόητοι καὶ παχύδερμοι ἄνθρωποι καὶ ὄντως ἀκίχητα (1) διώκοντες[12], τῶν θείων ὄντες θαυμάτων ἀμύητοι, μηδὲ τῷ τοῦ Ἐλισσαίου δυσωπούμενοι θαύματι, ὃς τοὺς ἐκ τοῦ[13] τῶν Σύρων βασιλέως συλλαβεῖν τοῦτον ἐκπεμφθέντας μέσον αὐτῶν ἐλάνθανεν ὤν, ἀορασίᾳ τε περιβαλὼν τούτους εἰς Σαμάρειαν ἦγεν καὶ τῷ βασιλεῖ παρεδίδου. Ἐῶ γὰρ λέγειν τὸ[14] τοῦ μεγάλου θαυματουργοῦ, ὃς τοὺς ἀνιχνεύοντας αὐτὸν πρὸς τὸ συλλαβεῖν ἐν τῷ ὄρει προσευχόμενος ἐλάνθανε δενδρωθείς (2). Διαμαρτήσαντες οὖν κἂν τούτῳ τοῦ τιμίου τῆς μακαρίας λειψάνου (φησί) κατήλθομεν εἰς τὴν ναῦν καὶ ἀναχθέντες ἀπὸ τῆς γῆς ἀπῄειμεν οἴκαδε, δοξάζοντες καὶ ὑμνοῦντες[15] Θεὸν τὸν ἑκάστοτε ποιοῦντα παράδοξα καὶ ἐξαίσια. »

*Corpus sanctae evanescit.*

VITA

4. Reg. 6, 18.

*Nicetam Symeon obtestatur*

22. Ταῦτα, ὡς ἀνωτέρω μοι λέλεκται, διηγησάμενος ὁ μακάριος ἐκεῖνος καὶ μέγιστος ἄνθρωπος, ὅρκῳ[1] προησφαλίσατο, μήποτε λήθης βυθῷ[2] παραπέμψαι τὴν παροῦσαν ὑπόθεσιν μηδὲ προφάσεις προφασισάμενον[3] σιγῆσαι τὸ θαῦμα, τήν τε θείαν νέμεσιν[4] καὶ τῆς ὁσίας τὴν ἀγανάκτησιν ὑφορώμενον. Πυνθανομένῳ δέ μοι E τὸν χρόνον καὶ τὴν ἡμέραν τῆς αὐτῆς τελευτῆς, ἵνα καὶ συγγραφῇ πάντως τῷ θαύματι καὶ τελῆται τὸ ταύτης μνημόσυνον, ὁ ἱερὸς ἐκεῖνος ἔλεγεν ἄνθρωπος· « Πολλὰ μὲν ὡς ὁρᾷς, ἀγαπητέ, τοῦ διηγήματος παραλέλειπται· καὶ γὰρ ἐχρῆν καὶ τὸ γένος καὶ τὴν ἐν τῇ νήσῳ πᾶσαν

[6] ἐρχόμην N 5.
21. — [1] τότε N 4. — [2] ἀνήγγειλα N 2-6, Q. — [3] ταύτην Q. — [4] καὶ N 2-4, 6. — [5] *om.* N 2, 3, 5, 6, Q. — [6] ἀποθέμην N 6. — [7] μετὰ τῆς σιωπῆς *add.* N 5. — [8] *om.* N. 3. — [9] πρόσειμεν N 1 ; πρόσιμεν N 2-6, Q. — [10] ἔτι *corr.* N 5. — [11] κέκρυπται N 3, Q. — [12] καὶ *add.* N 2-6, Q. — [13] *om.* N 2-6, Q. — [14] *om.* N 3-6, Q. — [15] τὸν *add.* N 3, 4.
22. — [1] ὅρκοις N 2-6, Q. — [2] βυθοῖς N 2, 3, 5, 6, Q. — [3] προφασισάμενος M 6. — [4] *in marg. notat* Q : νέμεσις ὕβρις μέμψις.

*Codd. M.*

21. Ὡς γὰρ τοῖς ἑταίροις πλεῖν διεκελευσάμην, ἥλατο θᾶττον ἡ ναῦς καὶ πτηνή τις εἶναι παραδόξως ἐδόκει, τῆς ὀθόνης τοῦ[1] πνεύματος ὑποπιμπλαμένης, ὁδοῦ[2] τε ἀληθῶς εἰχόμεθα· καὶ τότε διεξῄειν ἐγὼ τοῖς ἑταίροις τὸ δρᾶμα[3], ὡς εὗρον τὴν μακαρίαν, ὡς τὰ κατ' αὐτήν μοι πάντα ἀνήγγειλεν, ὡς τῆς θείας δωρεᾶς μετέσχεν, εἶτα καὶ ὅπως κοιμηθεῖσαν εὕροιμι· καὶ τελευταῖον τὸ μέγα τόλμημα, ὡς τὴν χεῖρα ταύτης ἀφέλοιμι, δι' ἣν καὶ ἡ ἐπίσχεσις τῆς νηὸς ἦν, καὶ ὅπως ἀποδοθεῖσα πάλιν καὶ τὴν ναῦν εὐθὺς ἔλυσε. Ταῦτα ἐκεῖνοι ἀκούσαντες, πολλά τε ἡμᾶς τῆς σιωπῆς ἐμέμφοντο καὶ πρύμναν εὐθὺς ἐκρούσαντο, σπουδῇ τε πολλῇ πρὸς τὴν Πάρον ἀνεστρέφομεν καὶ πάντες ὁμοῦ[4] πρὸς τὸν ναὸν ἐχωροῦμεν, δέει τε κατεχόμενοι καὶ πίστει παρακροτούμενοι. C Ἐγγίσαντες οὖν τὸν μὲν τόπον εὕρομεν ἔτι τῆς τοῦ σώματος θέσεως ἀποσῴζοντα τύπον, γέγονε F δὲ ὁ νεκρὸς ἀφανής. Ἔκπληξις οὖν ἔλαβεν πάντας καὶ τῇδε κἀκεῖσε περιεθέομεν, περισκοποῦντες, περιβλεπόμενοι, αὐτὸ τὸ τῶν κυνῶν ποιοῦντες ἡμεῖς[5] οἱ θηρευταί[6], ῥινηλατοῦντες τὴν μακαρίαν, μή που μετέπεσεν ἢ ἀνεβίω. Καὶ[7] τοῦτο γὰρ οὐκ ἀνέλπιστον ἦν ἐπὶ βίου τοιαύτῃ καινοτομίᾳ καὶ ἀρετῆς θαύματι· ἄλση τε καὶ ὕλας ἐξιχνεύοντες, εἴ που τὸ θεῖον ἐκεῖνο κειμήλιον κρύπτεται[8], οὐδὲν τὸ παράπαν εὑρεῖν εἴχομεν. Οὐκ οἶδα, εἴτε[9] τοῦ Θεοῦ τὸ ἱερὸν ἐκεῖνο μεταθέντος σῶμα, ἔνθα φίλον αὐτῷ, εἴτε μένοντος μὲν[10] ὅπου καὶ ἦν, ἡμῶν δὲ ἰδεῖν κωλυθέντων, ἵνα καὶ μείζων ὁ μισθὸς γένοιτο τῇ διαμαρτίᾳ τοῦ ποθουμένου. Οὕτως οὖν τοῦ τιμίου φημὶ[11] λειψάνου τῆς μακαρίας ἀποτυχόντες κατήλθομεν[12] εἰς τὴν ναῦν καὶ ἀναχθέντες ἀπὸ τῆς γῆς ἀπῄειμεν οἴκαδε, δοξάζοντες τὸν Θεὸν τὸν ἑκάστοτε ποιοῦντα παράδοξά τε καὶ ἐξαίσια.

22. Ταῦτα. ὡς ἀνωτέρω[1] λέλεκται διηγησάμενος ἐκεῖνος ὁ μακάριος[2] τοῦ Θεοῦ ἄνθρωπος, καὶ ὅρκῳ προσησφαλίσατο μὴ λήθης βυθῷ παραπέμψαι τὴν παροῦσαν ὑπόθεσιν μηδὲ κατὰ πρόφασιν ἡντιναοῦν σιωπῇ τὸ θαῦμα καλύψαι καὶ μὴ[3] ἀνάγραπτον αὐτὸ τῷ αἰῶνι παντὶ δωρήσασθαι, τήν τε θείαν νέμεσιν καὶ τῆς ὁσίας[4] τὴν ἀγανάκτησιν ὑφορώμενος[5]. Ἐμοῦ δὲ πυνθανομένου τόν τε χρόνον καὶ τὴν ἡμέραν τῆς τελευτῆς, ἵνα καὶ συγγραφῇ πάντως τῷ θαύματι καὶ ἡ μνήμη δι' ἔτους τελῆται, ὁ ἱερὸς ἐκεῖνος ἄνθρωπος· « Πολλά, εἶπεν, ὡς ὁρᾷς, ἀγαπητέ, τοῦ διηγήματος παρα-

21. — [1] *om.* M 1-6. — [2] ἰδοὺ M 5. — [3] καὶ *add.* M 3. — [4] δρόμῳ *add.* M 8, 9, N. — [5] *om.* M 2. — [6] θηραταὶ M 6. — [7] *om.* M 5. — [8] κέκρυπται M 7 ; θεῖον ἐπ////ται M 8. — [9] οὔτε M 6. — [10] *om.* M 2. — [11] φησὶ M 4, 8. — [12] κατήλθαμεν M 6.
22. — [1] μοι *add.* M 4, 6-9. — [2] *om.* M 1, 2, 5 ; ὁ μακ. ἐκεῖνος M 9. — [3] *om.* M 8. — [4] ἁγίας M 7. — [5] ὑφορομένους M 4, 7-9 ; ὑφορόμενον M 6.

(1) Ἀκίχητα, quae assequi non possumus. *Iliad.*, P, 75. — (2) *Vita S. Gregorii thaumaturgi*, *BHG.* 715, *P.G.*, t. XLVI, p. 948.

αὐτῆς

VITA

αὐτῆς διεξελθεῖν ἄσκησίν τε καὶ κάκωσιν καὶ ὅπως πρὸς τὰς τῶν ἀντικειμένων ἐχθρῶν διηγώνισται πυκτεύουσα [5] προσβολάς. Ἀλλὰ [6] τί πάθω, τοῦ προστυχόντος τῇ μεγάλῃ μὴ κατὰ τὸν μέγαν ὄντος Ζωσιμᾶν (1), ὃς ἠπίστατο βίους καὶ ἀγῶνας ἀνιχνεύειν [7] καὶ κατορθώματα, τοὐναντίον μὲν οὖν ὀρεσίτροφος καὶ παχύς [8], τῶν τοιούτων ἀνήκοος. Πλὴν ἓν [9] τοῦτο [10] διὰ μνήμης εἶχεν, ὡς ἔλεγεν, ὅτι [11] εἴη [12] φθινοπώρου καιρὸς καὶ πρὸς τὸν νοέμβριον. Πλὴν ἀγαπητὸν τὸ καὶ γραφῇ τὸν βίον τῆς μακαρίας παραδοθῆναι καὶ μὴ λήθης καταχωσθῆναι βυθῷ· τὴν δὲ μνήμην σπουδαῖοι πάντως ἄνδρες καὶ ζηλωταὶ ταύτης εὐκαίρως ἐν ἡμέρᾳ, καθὼς

*ut historiam illam litteris mandet.*

ἀρέσκει, τάξωσιν [13] ἑορτῆς. Τίνα γὰρ εὔκλειαν προσθήσει [14] καὶ δόξαν ἐγκώμια καὶ πανηγύρεις, οἷς τῶν οὐρανῶν ἡ [15] βασιλεία καὶ τὰ ἀΐδια κεκλήρωται ἀγαθά, εἰς ἃ ποθοῦσι καὶ τῶν ἀγγέλων τὰ τάγματα παρακύψαι [16]; πλὴν εἰ μὴ ζῆλον ἄρα τοῖς συνιοῦσι [17] καὶ δόξαν Θεῷ καὶ μακαρισμὸν αὐτῶν τῶν μνημονευομένων· οὓς

1 Petr. 1, 12.

B

γὰρ ὁ βίος ἐδόξασεν, εἰκότως καὶ μακαρίζει [18] καὶ σεμνύνει διαγγελλόμενος.» D

*In Cretam proficiscitur Nicetas.*

**23**. Ταῦτα ὁ μέγας ἄνθρωπος ἐκεῖνος ἡμῖν παραθέμενος καὶ παρακαλέσας ἐπιεικῶς ἐξαπέστειλεν. Αἰσίων δὲ τῶν ἀνέμων πνευσάντων, τῇ ἐπαύριον κατήχθημεν [1] εἰς τὴν Δίαν [2] (2). Τοῦτο τῆς ἐν Πάρῳ καταγωγῆς ἡμῶν τὸ περίβλεπτον κέρδος, τοῦτο τῆς ἐπὶ Κρήτην πορείας παρ' ἐλπίδας ἐμπόρευμα· οὗτος ὁ βίος τῆς μακαρίας Θεοκτίστης, αὕτη ἡ ἄσκησις καὶ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τὸν κοσμοκράτορα τοῦ σκότους τοῦ αἰῶνος τούτου πάλη καὶ ἀντιπαράταξις. Ἐγὼ δὲ παρῆλθον ὑπακοὴν πληρῶν καὶ τὸ χρέος ἀφοσιούμενος· ἐξ οὗ τί ἂν γίνοιτο [3]; Πολλὰ μὲν οὖν [4] καὶ ἄλλα, τρία δὲ ταῦτα καὶ μέγιστα· αὐτῷ μὲν τῷ τούτων [5] χορηγῷ τε καὶ πρυτάνει Θεῷ ὕμνος, ἐξομολόγησις καὶ δόξα· τῇ ὁσίᾳ δὲ μακαρισμὸς παρὰ τοῦ λόγου καὶ τὸ ἐτήσιον σὺν εὐφημίᾳ μνημόσυνον· καὶ τοῖς γράψασιν ἡμῖν ὁ μεγαλόδωρος καὶ μέγας ἡμῶν Θεὸς Ἰησοῦς Χριστὸς τῆς προθυμίας δαψιλεύ-

Eph. 6, 12.

E

[5] *om.* N 2-6, Q. — [6] *bis scribit* Q. — [7] N 2-6, Q, M; ἀνιχνεύων N 1. — [8] καὶ *add.* N 4, 5. — [9] *om.* N 2, 6. — [10] τούτου N 2. — [11] ὅτ' N 1. — [12] ἦν N 5. — [13] τάξουσιν N 3-6, Q. — [14] προυθήσω Q. — [15] ἡ τ. οὐρ. N 2-6, Q. — [16] παρακ. τ. τ. N 2-6, Q. — [17] συνοῦσι N 6. — [18] (κ. μ.) *om.* N 4.

**23**. — [1] κατηχήθημεν N 3. — [2] Δίον Q. — [3] γένοιτο N 2-4, 6. — [4] *om.* N 2-6. — [5] τούτῳ N 2, 6.

*Codd. M.* λέλειπται. Καὶ γὰρ ἐχρῆν καὶ τὸ γένος καὶ τὴν ἐν τῇ νήσῳ [7] πᾶσαν αὐτῆς ἄσκησιν ὅπως τε πρὸς τὰς τῶν ἀντικειμένων ἐχθρῶν [8] ἠγώνισται προσβολάς, ταυτὶ πάντα γνώριμα εἶναι ἔδει. Ἀλλὰ τί πάθω, τοῦ τῇ μεγάλῃ (φησίν) ἐντυχόντος μὴ κατὰ τὸν μέγαν ὄντος Ζωσιμᾶν, ὃς ἠπίστατο βίους καὶ ἀγῶνας ἀνιχνεύειν καὶ κατορθώματα; τοὐναντίον μὲν οὖν ὀρειφοίτης ἐκεῖνος καὶ παχὺς ἄνθρωπος καὶ τῶν [9] τοιούτων ἀνήκοος. Πλὴν ἓν τοῦτο διὰ μνήμης εἶχεν, ὡς ἔλεγεν, ὅτι φθινούσης ὀπώρας ὁ καιρὸς ἦν καὶ πρὸς αὐτὸν τὸν νοέμβριον [10]. Ἀλλ' ἀγαπητὸν πάντως τὸ καὶ ἁπλῶς οὕτω γραφῇ τὸν βίον τῆς μακαρίας παραδοθῆναι εἰς πολλῶν ψυχῶν τῶν ἐντευξομένων ὠφέλειαν· τὴν δὲ μνήμην οἱ σπουδαῖοι καὶ [11] φιλέορτοι [12] τῶν ἀνδρῶν καθ' ὃ βούλονται καὶ φίλον αὐτοῖς τοῦ χρόνου τάξουσιν. Οὐδὲν γάρ, ὅσα γε εἰς τὴν [13] μνημονευομένην, τὸ κατὰ τήνδε τὴν ἡμέραν τὴν αὐτῆς [14] μνήμην ἑορτάζεσθαι, ὁπόταν οὐδὲ αὐτὸ τὸ πανηγυρίζειν ὅλως· τίνα γὰρ εὔκλειαν προσθήσει καὶ δόξαν ἐγκώμια καὶ πανηγύρεις, οἷς τῶν οὐρανῶν ἡ βασιλεία καὶ τὰ ἀΐδια κεκλήρωται ἀγαθά, εἰς ἃ ποθοῦσι καὶ αὐτὰ τῶν ἀγγέλων [15] τὰ τάγματα παρακύψαι; πλὴν εἰ μὴ ζῆλον ἄρα τοῖς συνοῦσι [16] καὶ κέντρον εἰς ἀρετὴν αὐτοῖς τε τοῖς πανηγυρίζουσι μισθὸν προξενήσει.»

**23**. Ταῦτα ὁ μέγας ἄνθρωπος ἐκεῖνος ἡμῖν παραθέμενος καὶ ἄλλα προσθεὶς τὰ πρὸς σωτηρίαν συντείνοντα ἐξαπέστειλεν. Ἐπιφόρων δὲ ἀνέμων πνευσάντων, τῇ ἐπιούσῃ κατήχθημεν εἰς τὴν Δίαν, ἐξ ἧς εἰς Κρήτην. Ταῦτα δὲ πάντως τῆς ποικίλης ἦν καὶ πανσόφου προνοίας ἔργον Θεοῦ, τὸ
C τὸν μοναχὸν ἐκεῖνον ἡμᾶς ἰδεῖν, τὸ ἐντυχεῖν αὐτῷ καὶ εἰς λόγους ἐλθεῖν ἀκοῦσαί τε παρ' αὐτοῦ, F
ὅσα ἐκεῖνος πάλιν παρὰ τοῦ θηρατοῦ μάθοι, ἃ καὶ μᾶλλον σοφὴν ἔχει καὶ παράδοξον τὴν οἰκονομίαν, τὸ τὴν ὁσίαν ἰδεῖν καὶ ἐν καιρῷ τοιούτῳ ἰδεῖν [1] ὅτε καὶ τὰ τοῦ τέλους ἐγγίζοντα ἦν ὥστε μὴ λαθεῖν τηλικούτου βίου κοινωφελὲς διήγημα, τὸ λειτουργῆσαι αὐτὸν λειτούργημα τοιοῦτον, τῆς τοῦ Θεοῦ φημι δωρεᾶς, τῇ ταύτης ἀξίᾳ, τὸ θανοῦσαν ἰδεῖν καὶ τὸ ἐπὶ τῇ χειρὶ δρᾶσαι τόλμης ἔργον ὁμοῦ καὶ πίστεως [2] καὶ δι' αὐτὴν πάλιν ἄλλον προβῆναι τρόπον οἰκονομίας θαυμασιώτατον, καθ' ὃν ἥ τε τῆς μακαρίας οἰκείωσις πρὸς Θεὸν δήλη γέγονε, ναῦν τε ἐπέχουσα κλαπείσῃ χειρὶ καὶ πάλιν ἀποδοθείσῃ λύουσα, γνώμης τε δοκιμασία τῶν συνθηρατῶν καὶ συμπλόων καὶ ψυχῶν εὐγενῶν δήλωσις, οἳ κρείττους [3] ὄκνου παντὸς ὀφθέντες ἑκούσιόν τε πάλιν ὑποστροφὴν προτιμήσαντες διὰ μόνην περιουσίαν πίστεως, αὐτοὶ μὲν ταύτης ἀπηρτισμένον τὸν μισθὸν ἀπεῖχον [4], τὸ δὲ μεῖζον πάντων ἡ θεία πρόνοια στρέφουσά τε καὶ ποικίλλουσα ἦν, τὸ τὴν ἁγίαν ὀφθῆναι καὶ κρείττω ταφῆς, ἅτε ὅλως ὑπὲρ ἄνθρωπον ζήσασαν, μᾶλλον δὲ λόγοις οἷς αὐτὴ οἶδεν ἡ πάντα τὰ καθ' ἡμᾶς βαθέως οἰκονομοῦσα καὶ διεξάγουσα. Τοῦτο τῆς ἐν Πάρῳ καταγωγῆς ἡμῶν καὶ τῆς ἐπὶ Κρήτην πορείας τὸ μέγα καὶ [5] παρ' ἐλπίδας ἐμπόρευμα. Οὗτος ὁ βίος τῆς μακαρίας Θεοκτίστης. Αὕτη ἡ ἄσκησις οὐ γυναιξὶ μόνον [6] ἀλλὰ καὶ ἀνδράσιν αὐτοῖς μιμήσασθαι χαλεπή. Οὕτως ἡ ἀσθενὴς φύσις, τὸ εὐτελὲς γύναιον, οὐδὲν πλέον εἰδὸς ἱστοῦ καὶ ἠλακάτης, πρὸς τὰς ἀρχάς τε καὶ [7] ἐξουσίας διηγωνίσατο καὶ τὸν παλαιὸν ἐνίκησε πτερνιστήν, ἐνδυναμωθὲν καὶ αὐτό [8]

[7] νόσῳ M 5. — [8] *om.* M 1, 7. — [9] *om.* M 7. — [10] νοέβριον M 1, 3, 5. — [11] ἐντευξόμενοι οἱ φιλ. M 2. — [12] *corr.* M 8, *prius* φιλεόρτων. — [13] τὸ M 4. — [14] ἑαυτῆς M 7. — [15] ἀγαθῶν M 6. — [16] συνιοῦσι M 1, 2, 5, 8, 9.

**23**. — [1] (καὶ - ἰδεῖν) *om.* M 1. — [2] κ. π. ὁμοῦ M 6, 7. — [3] τοὺς *add.* M 1, 2, 5. — [4] εἶχον M 7. — [5] *om.* M 1, 2. — [6] μόνοις M 7. — [7] τῆς *add.* M 1, 2, 5. — [8] (καὶ αὐτὸ) *om.* M 1, 2, 5, 8.

(1) Zosimas monachus qui S. Mariam Aegyptiacam in deserto obviam habuit. *BHG.* 1042. — (2) Δία quae et Νάξος. Supra, n. 9.

-σοι

AUCTORE H. D.

A *σοι τὴν ἀμοιβήν*[6]*, πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρὸς τῆς Θεοτόκου, τῶν θεοειδῶν ἀγγέλων καὶ πάντων*[7] *ἁγίων, ὅτι αὐτοῦ*[8] *ἐστιν ἡ δόξα σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ πνεύματι, νῦν καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας*[9]*· ἀμήν.*

[6] *διατριβὴν* N 6. — [7] *τῶν add.* N 2-4, 6, Q.— [8] *αὐτῷ corr.* N 2. — [9] *εἰς τοὺς αἰῶνας τῶν αἰώνων* N 2; *δόξα εἰς τοὺς αἰῶνας* N 3; *νῦν καὶ εἰς τοὺς αἰῶνας* N 4; *νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων* N 5, 6; *δόξα εἰς τοὺς αἰῶνας* Q.

*ἀπὸ ἀσθενείας (τὸ τοῦ Παύλου καθ' ὥραν εἰπεῖν) καὶ ἰσχυρὸν γενόμενον ἐν πολέμῳ, εἰς δόξαν καὶ αἴνεσιν Χριστοῦ τοῦ ἀληθινοῦ*[9] *Θεοῦ ἡμῶν, ὅτι αὐτῷ πρέπει τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ*[10] *ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων · ἀμήν.*

[9] *om.* M 2. — [10] *τῷ add.* M 6.

---

B

# DE S. THOMAÏDE LESBIA

E

## MATRONA CONSTANTINOPOLI

SAEC. X

### COMMENTARIUS PRAEVIUS

H. D.

*Epitome*

*1. Thomaïdem Lesbiam cum Lesbia Theoctiste coniungere placet, cuius cum nulla notitia ad decessores nostros pervenisset, suo loco omissa est. E vivis enim excessit die prima ianuarii, licet eo die eius commemoratio in synaxariis inscripta non sit. Die tamen tertio solum alicuius Θωμαΐδος nomen paucis in codicibus legitur* (1)*, quod Thomaïdis Lesbiae esse, etsi non certum, probabile tamen videtur. Hanc genuerunt parentes diu steriles, Michael et Cale, qui mox insulam patriam relinquentes, cum filia Constantinopolim appulerunt. Viginti quattuor annos nata, Thomaïs Stephano cuidam iungitur matrimonio, multumque a viro aspero et truculento patitur. Moritur interea Michael, mater autem saeculo valedicit,*
C *et postquam in cella angusta precibus, vigiliis et ieiuniis vacaverat, monasterio Deiparae praeficitur, prope ecclesiam Sancti Mocii sito, cui nomen erat Μικρὰ ῾Ρωμαίου. Thomaïs vero vitam ducit sanctissimam, iniurias et vexationes a coniuge illatas patientissime ferens, urbis ecclesias, praecipue templum Deiparae in Blachernis assidue visitans, plurimos a variis languoribus liberans. Moritur aetatis anno tricesimo octavo, deponiturque in ecclesiae monasterii Deiparae Μικρὰ ῾Ρωμαίου vestibulo, hoc ipsa deposcente, donec divina Providentia, ita aiebat, in me mirabilia operetur. Quadraginta autem elapsis diebus, postquam iam plurima miracula patrata erant, in ecclesiam sacrum eius corpus translatum est, ubi deinceps aegroti non pauci sanitatem receperunt.*

*Vitae S. Thomaïdis;*

*2. Vitam S. Thomaïdis nacti sumus in codice bibliothecae Nationalis Florentinae, Conventi soppressi B 1, Camaldoli 1214* (=**A**)*, membraneo, saec. XIV exarato* (2)*, qui inter varias sanctarum Vitas, fol. 49-59*v*, Vitam S. Thomaïdis continet, die 1 ianuarii legendam. Ita tradita est ut paucis in locis emendatione egeat. Qui Thomaïdis Vitam scripsit sanctam se vidisse nullo loco prodit, et pauca certe praeter miracula quae in vita et post mortem patravit comperta habet. Omnia autem multis verbis enarrat, nec res ita apte disponit ut eadem hinc inde non iteret. Vitam Thomaïdis litteris mandavit regnante Romano II, seu annis 959-963. Laudat enim (c. 25) τὸν τῆς πορφύρας κλάδον, τὸν εὐθαλέστατον ῾Ρωμανόν. Non statim post sanctae obitum calamum sumpsit, quod vel ex eo colligitur quod narrat mulierem quandam ἁψῖδα iconibus ornatam supra tumulum sanctae erexisse (c. 23), ἥτις καὶ μέχρι τοῦ νῦν περισῴζεται εἰς τὸ μέγιστον ἐκείνης μνημόσυνον, qua formula res non adeo recentes exprimuntur. Utinam perspicue dixisset quae de mi-* F
*raculis alio loco (c.25) notat: μέχρι γὰρ καὶ δύο καὶ δέκα χρόνων οὐκ ἐπαύσατο τὰς ἰάσεις ἐπιτελεῖν ... ἀλλὰ καὶ μέχρι καὶ σήμερον τοῖς θερμῶς ἐπικαλουμένοις αὐτὴν οὐ παύεται τὰς ἰάσεις ἀφθόνοις δωρεαῖς ἐπιχορηγεῖν. Haec ita interpretanda videntur ut miracula quae rettulit hagiographus spatio duodecim post obitum sanctae annorum patrata fuerint; illud tamen quod postremo loco narravit non fuerit ultimum, nec sanctam omnibus eam fervide implorantibus opitulari desiisse. Haec non satis definita sunt ut de anno quo Thomaïs obiit certiores fiamus. Nullum tamen certum in Vita indicium est, longum ab illius obitu temporis spatium effluxisse, nec multum a vero recessurum putamus qui Thomaïdem primis saeculi X decenniis vixisse contenderit. Constantinopoli scripta est Vita Thomaïdis, ut tum verba ἐκ τῆσδε τῆς μεγαλοπόλεως (cc. 19, 22), tum diligens locorum census testantur.*

*eiusdem laudatio.*

*3. Praeter Vitam Thomaïdis adducimus etiam laudationem quae inter opera Constantini Acro-*

(1) *Synax. Eccl. CP.*, p. 367. — (2) *Anal. Boll.*, t. XV, p. 406.